Urkunde 1.

Brief des Arius an Euseb von Nikomedien.

(ca. 318)

1 Κυρίῳ ποθεινοτάτῳ ἀνθρώπῳ θεοῦ πιστῷ, ὀρθοδόξῳ Εὐσεβίῳ Ἄρειος ὁ διωκόμενος ὑπὸ Ἀλεξάνδρου πάπα ἀδίκως διὰ τὴν πάντα νικῶσαν ἀλήθειαν ἧς καὶ σὺ ὑπερασπίζεις ἐν κυρίῳ χαίρειν.

2 Τοῦ πατρός μου Ἀμμωνίου εἰς τὴν Νικομήδειαν ἀφικομένου εὔλογον καὶ ὀφειλόμενον ἐφάνη μοι προσαγορεῦσαί σε δι' αὐτοῦ, ὁμοῦ τε καὶ ὑπομνῆσαι τὴν ἔμφυτόν σου ἀγάπην καὶ διάθεσιν, ἣν ἔχεις πρὸς τοὺς ἀδελφοὺς διὰ τὸν θεὸν καὶ τὸν Χριστὸν αὐτοῦ, ὅτι μεγάλως ἡμᾶς ἐκπορθεῖ καὶ διώκει καὶ πάντα κάλων κινεῖ καθ' ἡμῶν ὁ ἐπίσκοπος, ὥστε ἐκδιῶξαι ἡμᾶς ἐκ τῆς πόλεως ὡς ἀνθρώπους ἀθέους, ἐπειδὴ οὐ συμφωνοῦμεν αὐτῷ

8f. Marius Victorinus adv. Arium (Migne PL 8, 1066 D): quod et Alexander dixit, et dicitur semper pater, semper filius simul existens

Epiph. haer. 69, 6 (I) Theod. h. e. I 5 (A n s z) Th. Cand. Col.

1 ὀρθοδόξῳ + avo Col. = πάππῳ | Εὐσεβίῳ + nicomedensi Col. = Νικομηδεῖ 2 τοῦ πάπα Theod. Th. 4 ἐρχομένου εἰς τὴν Νικομήδειαν ~ Theod. Th. Cand. Col. | καὶ > Theod. Cand. | ὀφειλόμενον καὶ εὔλογον ~ Col. 5 μοι > Theod. (AnsLv) Th. Cand. 6 πρὸς] εἰς Theod. (AnsLv) περὶ Theod. (D) circa Col. 7 μεγάλως] maligniter Col. | ἐκδιώκει Theod. (Ans) Th. | πάντα κάλων] πᾶν κακὸν Epiph. Cand. 8 ὥστε + καὶ Theod. Th. | ἡμᾶς > Th.

Arrii ad Eusebium.

1 Domino desiderantissimo homini dei fideli recta opinanti ⟨Eusebio⟩ Arrius, qui persecutionem patitur ab Alexandro papa iniuste propter omnia vincentem veritatem, pro qua et tu propugnas, in domino salvum esse. Cand. Migne L. 8, 1035

2 Patre meo Ammonio veniente ad Nicomediam rationi debitum apparuit salutare te per ipsum simulque et commonefacere caritatem tibi innatam et affectionem, quam habes ad fratres propter dominum et Christum eius, quoniam magnifice nos exportat et persequitur et omne malum movet adversum nos episcopus, ut exfuget nos de civitate quasi homines sine deo, quoniam non consonamus ipsi publice dicenti, ingenitogenitus est, semper deus

2 Eusebio > Ms. 5 Ammoneo (i über e) Ms. 6 commûnefacere Ms.

Incipit epistola Arii heretici ad Eusebium Nicomediensem.

1 Domino desiderantissimo homini dei fideli ortodoxo avo Eusebio Nicomedensi Arrius, qui persecutionem patitur ab Alexandro papa iniuste propter veritatem quae omnia vincit, cuius et tu propugnator es, in domino salutem. Col. Rev. Bén. 26, 93

2 Patre meo Ammonio veniente Nicomediam debitum et rationabile visum est mihi salutare te per ipsum, simul et commemo⟨ra⟩re insitam tibi agape et affectum, quem habes circa fratres propter deum et Christum eius, quia maligniter nos expugnat et persequitur et omnem plectam commovet adversum nos episcopus, ita ut proiceret nos de ipsa civitate quasi homines sine deo, quia non consentimus ei publice dicenti: semper deus semper filius,

1 heresi Ms. 2 avo] lies suo? Op. | nicomediense Ms. 3 quidem persecucionem Ms. 4 propugnator] propter Ms. 5 patri Ms. | nicomedia Ms. | bebitum et racionabile Ms. 6 quod habet Ms. 8 omnem] oms Ms. | episcoporum Ms. 9 dicentem Ms.

δημοσίᾳ λέγοντι, ἀεὶ θεὸς ἀεὶ υἱός, ἅμα πατὴρ ἅμα υἱός, συνυπάρχει ὁ υἱὸς ἀγεννήτως τῷ θεῷ, ἀειγεννής, ἀγεννητογενής, οὔτ' ἐπινοίᾳ οὔτ' ἀτόμῳ τινὶ προάγει ὁ θεὸς τοῦ υἱοῦ, ἀεὶ θεὸς ἀεὶ υἱός, ἐξ αὐτοῦ τοῦ θεοῦ ὁ υἱός.
3 Καὶ ἐπειδὴ Εὐσέβιος ὁ ἀδελφός σου ἐν Καισαρείᾳ καὶ Θεόδοτος καὶ Παυλῖνος καὶ
Ἀθανάσιος καὶ Γρηγόριος καὶ Ἀέτιος καὶ πάντες οἱ κατὰ τὴν ἀνατολὴν λέγουσιν, ὅτι
προϋπάρχει ὁ θεὸς τοῦ υἱοῦ ἀνάρχως, ἀνάθεμα ἐγένοντο δίχα Φιλογονίου καὶ Ἑλλα-
νικοῦ καὶ Μακαρίου, ἀνθρώπων αἱρετικῶν ἀκατηχήτων τὸν υἱὸν λεγόντων οἱ μὲν ἐρυγήν,
4 οἱ δὲ προβολήν, οἱ δὲ συναγέννητον. καὶ τούτων τῶν ἀσεβειῶν οὐδὲ ἀκοῦσαι δυνά-
μεθα, ἐὰν μυρίους θανάτους ἡμῖν ἐπαπειλῶσιν οἱ αἱρετικοί. ἡμεῖς δὲ τί λέγομεν καὶ φρο-
νοῦμεν καὶ ἐδιδάξαμεν καὶ διδάσκομεν; ὅτι ὁ υἱὸς οὐκ ἔστιν ἀγέννητος οὐδὲ μέρος ἀγεν-

---

2 zu ἀειγεννής vgl. sempiterna generatio bei Origenes de princ. I 2, 4 (33,1) und I 2,3 (31, 1ff.) | ἀτόμῳ τινὶ vgl. Origenes de princ. I 2,2 (29, 3f.): quomodo extra huius sapientiae generationem fuisse aliquando deum patrem vel ad punctum momenti alicuius potest quis sentire vel credere . . . 6 Vgl. Urk. 3 S. 4 7 zu ἐρυγήν vgl. Ps. 44,2. Origenes in Joh. I 38, 280ff. (49,20ff.) 8 προβολήν vgl. Urk. 6 S. 12, 11 | συναγέννητος vgl. Urk. 6 S. 13,11

Epiph. (I) Theod. (A n s z) Th. Cand. Col.

---

1 ff. bei Cand. andere Anordnung. | ἀγεννήτως ὁ υἱὸς ~ Theod. (AnsLF) Th. συνυπάρχει ὁ γεννητὸς υἱὸς τῷ ἀγεννήτῳ θεῷ Theod. (D) cum deo est infacturaliter filius Col. 2 ἀειγενής Epiph. Theod. (v) Th. ἀειγέννησις Theod. (s) semper genitus Cand. semper natus Col. | ἀειγεννής + ἐστιν Theod. Th. | ἀγεννητογεννής Theod. (sDv) ἀγενητογενής Th. Epiph. ἀγεννητογενής + ἐστιν Theod. Cand. 3 ὁ θεὸς ἀεὶ ὁ υἱός Th. | αὐτοῦ + ἐστιν Theod. Th. 4 σου + ὁ Theod. Th. | Θεοδόσιος Epiph. (I). 5 Ἀέτιος] Eutychius Col. 6 ἀνάρχως] non in tempore Col. | δίχα + μόνου Theod. Th. Cand. 6/7 Ἑλλαδικοῦ Theod. (s) 7 ἀκατηχήτων] quibus non insonuit quod Cand.! 8 οἱ δὲ συναγέννητον] ἀγέννητον Epiph. (I) | ἀσεβῶν Epiph. (I) 9 ἐπαπειλοῦσιν Theod. (A) ἐπαπειλήσωσιν Theod. (sz) παραπειλήσωσιν Theod. (n) 10 ἀγένητος Theod. (N) Th. ingenitus Cand. infactus Col. ebenso S. 3, 3

Cand. semper filius, simul pater simul filius, consubsistit ingenite filius patri, semper genitus est,
neque ad intellegentiam neque exiguo aliquo praecedit deus filium, semper deus semper
3 filius, ex ipso est deo filius. et quoniam Eusebius frater tuus, qui in Caesarea est, et Theo-
dotus et Paulinus et Athanasius et Gregorius et Aetius et omnes, qui circum orientem,
dicunt, quod praeexsistit deus filio sine principio, anathema facti sunt excepto solo Filogonio
et ⟨H⟩ellanico et Macario, hominibus hereticis, quibus non insonuit quod, qui filium dicunt
4 alii eructationem, alii emissionem, alii simul ingenitum. et istorum sacrilegiorum nec
audire possumus, etiamsi decies mille mortes nobis minentur heretici. nos autem quod
dicimus et sapimus et docuimus et docemus? quoniam filius non est ingenitus, neque pars

---

6 machario Ms.

Col. simul pater simul filius, cum d⟨e⟩o est infacturaliter filius, semper natus est infacturaliter,
neque affectione neque aliquo athomo antecessit deus filium, semper deus semper filius, ex
3 ipso est deo filius. et quia Eusebius frater tuus qui est a Caesarea et Theodotus et Paulinus et
Athanasius et Gregorius et Eutychius et omnes qui sunt in oriente dicunt, quia ante erat deus
ante filium non in tempore, anathema facti sunt praeter Filogonium et Hellanicum et Macari-
um, homines hereticos, qui excatechizati sunt, qui dicunt filium alii eruptionem alii probolem,
4 hoc est prolatum, alii autem: infactus est cum patre. et has impietates non possumus
audire, si decies millies mortem nobis minentur heretici. nos autem q⟨u⟩id dicimus et quid
sensimus et docuimus et docemus? quia filius non est infactus, nec pars infacti nullo modo,

---

1 pater] cum patre Ms. 2 affeccione Ms. 3 deo] ds Ms. | quia est cessarea Ms. | Theudotus corr. Ms. 4 Euticius Ms. 5 praeter] propter Ms. | Hillanicum Ms. | Macharium Ms. 6 heretici Ms. | qui] qum Ms. | ex cathezizati Ms. | erupcionem Ms. | probatem Ms.

νήτου κατ' οὐδένα τρόπον οὔτε ἐξ ὑποκειμένου τινός, ἀλλ' ὅτι θελήματι καὶ βουλῇ ὑπέστη πρὸ χρόνων καὶ πρὸ αἰώνων, πλήρης ⟨χάριτος καὶ ἀληθείας⟩, θεός, μονογενής, ἀναλλοίωτος. καὶ πρὶν γεννηθῇ ἤτοι κτισθῇ ἤτοι ὁρισθῇ ἢ θεμελιωθῇ, οὐκ ἦν. ἀγέν- 5 νητος γὰρ οὐκ ἦν. διωκόμεθα δὲ ὅτι εἴπομεν, ἀρχὴν ἔχει ὁ υἱός, ὁ δὲ θεὸς ἄναρχός ἐστι. διὰ τοῦτο διωκόμεθα καὶ ὅτι εἴπομεν, ἐξ οὐκ ὄντων ἐστίν. οὕτως δὲ εἴπομεν, καθότι οὐδὲ μέρος θεοῦ ἐστιν οὐδὲ ἐξ ὑποκειμένου τινός. διὰ τοῦτο διωκόμεθα, λοιπὸν σὺ οἶδας. ἐρρῶσθαί σε ἐν κυρίῳ εὔχομαι μεμνημένον τῶν θλίψεων ἡμῶν, συλλουκιανιστὰ ἀληθῶς Εὐσέβιε.

1 ff. Fast wörtlich die gegenteilige Meinung bei Origenes de princ. IV 4, 1 (349, 1 ff.) Vgl. Urk. 6 S. 12, 9 4 Gegen ἀρχὴν ἔχει ὁ υἱός wendet sich Alexander Urk. 14 S. 28, 2, vgl. auch Arius bei Athanasius Ep. ad episc. Lib. et Aeg. 12 (I 281 D) ἀρχὴν ἔχει τοῦ εἶναι, und ebenda (I 282 D) ἀρχὴν γὰρ ἔχων τοῦ εἶναι οὐ δύναται τὸν ἄναρχον γινώσκειν. Zu ἀρχὴν ἔχει ὁ υἱός stellt Origenes stets das Gegenteil fest: de princ. I 2, 2 (29, 11 ff.); 2, 9 (41, 4 ff.) und IV 4, 1 (349, 19 nach Athan. de decret. nic. 27) 7 zu συλλουκιανιστὰ vgl. Urk. 14 S. 25, 13

Epiph. (I) Theod. (A n s z) Th. Cand. Col.

1 τρόπον + ἀλλ' Epiph. (I) 2 πλήρης + ⟨χάριτος καὶ ἀληθείας⟩ vgl. Jh. 1, 14 Holl 3 ἀλλοιωτός Th. | γενηθῇ Theod. (NV) Th. | ἤτοι[2]] ἢ Theod. Th. 3/4 ἀγένητος Theod. (NV) Th. 4 δὲ > Theod. Th. Cand. Col. 4 u. 5 εἴπαμεν Theod. (AnGDF) 5 εἴπομεν + ὅτι Theod. quia Cand. Col. 7/8 συλλουκιανιστὰ ἀληθῶς Εὐσέβιε > Col.

Cand.

ingeniti iuxta nullum modum nec ex subiecto aliquo, sed quod voluntate et cogitatione subsistit ante tempora et aeones, plenus deus unigenitus et inmutabilis. et antequam 5 genitus esset aut creatus vel definitus aut fundatus, non fuit. ingenitus enim non fuit. persequimur quoniam diximus, principium habet filius, deus autem sine initio. propterea persequimur et quia diximus, quia non de existentibus est. sic autem diximus, iuxta quod nec pars dei est nec ex subiecto aliquo. idcirco persequimur iam tu scis. confortari te in domino preces facio memorem tribulationum nostrarum, conlucianista vere Eusebie.

7 conlucionista Ms.

Col.

neque ex constituto aliquo, sed voluntate et consilio constitutus est ante tempora, ante secula, plenus deus, unigenitus, inmutabilis. et antequam generaretur et crearetur vel 5 designaretur vel fundatus esset, non erat. infactus enim non est. persecutionem patimur quia diximus, initium habet filius, deus initium non habet. propter hoc persecutionem patimur, quia diximus, quia ex nihilo est. sic autem diximus quia neque pars dei est neque ex constituto aliquo. propter ⟨hoc⟩ persecutionem patimur, de cetero tu scis. opto te in domino sanum esse et memorem esse pressurarum nostrarum.

Explicit epistola Arii ad Eusebium Niomediensem.

4 inicium Ms. 5 sic] si Ms. 6 de cetera Ms. | obto ei Ms.

Urkunde 2.

Brief Eusebs von Nikomedien an Arius.

(ca. 318)

Καὶ ὁ μὲν ἀπὸ τῆς Νικομηδείας Εὐσέβιος κατὰ περιττὸν ἔγραφεν Ἀρείῳ ὅτι·

Καλῶς φρονῶν εὔχου πάντας οὕτως φρονεῖν. παντὶ γὰρ δῆλόν ἐστιν, ὅτι τὸ πεποιημένον οὐκ ἦν, πρὶν γενέσθαι. τὸ γενόμενον δὲ ἀρχὴν ἔχει τοῦ εἶναι.

Ath. de synodis 17 (BKOP R)

2 φρονεῖν οὕτως ∼ Ath. (K) 3 τὸ + δὲ Ath. (B) δὲ exp. | τοῦ + γενέσθαι Ath. (B) γενέσθαι exp.

1 ff. ist die Antwort auf Urk. 1 2 ff. vgl. oben Z. 3 ff.

Urkunde 3.

Brief des Euseb von Cäsarea an Euphration von Balaneä.

(ca. 318)

1 1. Εὐσεβίου τοῦ Παμφίλου πρὸς Εὐφρατίωνα. οὗ ἡ ἀρχή· Τῷ δεσπότῃ μου κατὰ πάντα χάριν ὁμολογῶ.

Καὶ μεθ' ἕτερα·

Οὐ γὰρ συνυπάρχειν φαμὲν τὸν υἱὸν τῷ πατρί, προϋπάρχειν δὲ τὸν πατέρα τοῦ υἱοῦ. ἐὰν γὰρ συνυπάρχωσι, πῶς ἔσται ὁ πατὴρ πατὴρ καὶ ὁ υἱὸς υἱός; ἢ πῶς ὁ μὲν πρῶτος, ὁ δὲ δεύτερος; καὶ ὁ μὲν ἀγέννητος, ὁ δὲ γεννητός; δύο γὰρ ἐξ ἴσου ὁμοίως ἀλλήλοις συνυπάρχοντα ἰσότιμα ἂν νοοῖντο καὶ ἤτοι ἄμφω, ὡς ἔφην, ἀγέννητα ἢ ἑκάτερα γεννητά. ἀλλ' οὐδέτερον τούτων ἀληθές· οὔτε γὰρ τὸ ἀγέννητον οὔτε τὸ γεννητὸν ⟨ἀμφότερον⟩ ἂν εἴη. ἀλλὰ τὸ μὲν καὶ πρῶτον καὶ κρεῖττον καὶ τάξει καὶ τιμῇ τοῦ δευτέρου ἡγεῖται, ὡς ἂν καὶ τοῦ εἶναι καὶ τοῦ τοιῶσδε εἶναι τῷ δευτέρῳ αἴτιον γεγενημένον.

4ff Euseb Dem. ev. V 1, 20 (213, 27ff.): οὐδέ γε ἀνάρχως συνυφέστηκεν τῷ πατρί, ἐπεὶ ὁ μὲν ἀγέννητος, ὁ δὲ γεννητός, καὶ ὁ μὲν πατήρ, ὁ δὲ υἱός, προϋπάρχειν δὲ καὶ προϋφεστάναι πατέρα υἱοῦ πᾶς ὅστις οὖν ⟨ἂν⟩ ὁμολογήσειεν Vgl. ebenda IV 3, 5 (153,6ff.) 6 Zitiert von Marcell v. Ancyra bei Euseb c. Marc. I 4,52 (28, 25—30): καὶ μεθ' ἕτερα προστίθησιν λέγων· ἐπεὶ πόθεν ἡμῖν ἐκ τῶν θείων δυνήσονται δεῖξαι ῥητῶν, ὅτι εἷς μὲν ἀγέννητος, εἷς δὲ γεννητὸς οὕτως, ὡς αὐτοὶ γεγεννῆσθαι αὐτὸν πεπιστεύκασιν, οὔτε προφητῶν οὔτε εὐαγγελιστῶν ἢ ἀποστόλων τοῦτ' εἰρηκότων; 7 Zu ἰσότιμα vgl. Euseb eccl. theol. II 7,3 (104, 14ff.): οὐδὲ γὰρ ἰσοτίμους αὐτὰς (sc. δύο ὑποστάσεις) ὁριζόμεθα οὐδ' ἄμφω ἀνάρχους καὶ ἀγεννήτους, ἀλλὰ μίαν μὲν τὴν ἀγέννητον καὶ ἄναρχον, θατέραν δὲ γεννητὴν καὶ ἀρχὴν τὸν πατέρα κεκτημένην Vgl. ebenda II 23,1 (133, 13) 9ff. Euseb Dem. ev. IV 3, 6 (153, 8): καὶ ὁ μὲν καθ' ἑαυτὸν τέλειος καὶ πρῶτος ὡς πατὴρ καὶ τῆς τοῦ υἱοῦ συστάσεως αἴτιος, ... ὁ δὲ ὡς ἐξ αἰτίου γεγονὼς υἱός, δεύτερος οὗ ἐστιν υἱὸς καθέστηκεν παρὰ τοῦ πατρὸς καὶ τὸ εἶναι καὶ τὸ τοιόσδε εἶναι εἰληφώς

Conc. Nic. II.: Actio V Labbé 7, 365; Mansi 13, 176 (A B C D E Lat.). 1 τῷ — 5 υἱοῦ Actio VI Labbé 7, 497; Mansi 13, 317 (A B C D E G Lat.).

---

1 Εὐφρατίονα A Ἐμφρατίωνα B | Εὐφρασίωνα Actio VI 2 χάριν > Actio V 5 συνυπάρχῃ B 7 συνυπάρχοντες B | νοοῖτο BD Lat 8 οὐδέτερον] οὐδὲν ἕτερον B οὐ δὲ ἕτερον D | ἀγέννητον a. Rd. A[1] ἀγένητον A 9 ⟨ἀμφότερον⟩ = utrumque Lat. | δευτέρου] υἱοῦ B 10 ἂν > D | καὶ τοῦ τοιῶσδε εἶναι > A, a. Rd. A[2]

---

1 1. Eusebii Pamphili ad Euphrationem, cuius initium est, Domino meo per omnia ⟨grates⟩ confiteor.

Et post alia:

Non enim coesse filium patri, sed antefuisse patrem quam filium dicimus. ergo si coexistunt, quomodo erit pater pater et filius filius? vel quomodo unus quidem primus, alter vero secundus est? et alter quidem ingenitus, alter autem genitus? duo quippe, si ex aequo similiter invicem consistunt et aequaliter honorantur, intelligi datur aut utrosque ingenitos ut dixi aut utrosque genitos esse, sed neutrum horum verum esse dignoscitur. neque enim ingenitum neque genitum utrumque consistit. sed unum quidem primum et maius est atque ordine et honore secundum praecedit, ita ut secundo causa sit et existendi et huiuscemodi existendi.

Conc. Nic. II.: Actio V (I K L M N O). 1—4 dicimus Actio VI (I K L M N O).

---

1 Vor Eusebii: VIII ILNO VIIII K octavum M | Phamphili O | Pamphili + librum M | Euphrasionem Actio VI Euphationem N Eupationem O Euphrationem > LM | inicium NO | domino meo cuius initium est ~ L 2 grates Op. nach Actio VI | confeteor N 3 et post alia > LM 4 Non enim — dicimus] Non enim simul cum patre filium fuisse, sed ante patrem quam filium fuisse fatemur Actio VI (sed — fuisse > LM) | coesse] coexistere M 5 erit] erat LMNO | filius[2] > KLMNO | vel quomodo über der Zeile v. l. Hd. K 7 intelligi] intelligatur NO 8 ingenitos + esse LMNO | ut dixi > LM | aut — esse > LMNO | genitos] ingenitos K, dann 'in' durchgestrichen | sed — esse doppelt LN | dinoscitur IK 9 sed + ne K 10 secundum] seculum O, über sec. N | secundo ut ~ LMNO | secundo] seculo NO | et[2] > K 11 existendi] exstendi N extendi O

2. Πλὴν αὐτὸς ὁ πάντων μᾶλλον ἀκριβῶς ἐπιστάμενος υἱὸς τοῦ θεοῦ ἕτερον ἑαυτὸν 2
εἰδὼς τοῦ πατρὸς καὶ μείω καὶ ὑποβεβηκότα, εὖ μάλα εὐσεβῶς τοῦτο καὶ ἡμᾶς διδάσκει λέγων· »ὁ πατὴρ ὁ πέμψας με μείζων μού ἐστι«.

3. Καὶ ἀνεγνώσθη ἐκ τῆς αὐτῆς ἐπιστολῆς· 3

Τὸν αὐτὸν δὲ καὶ μόνον ἀληθινὸν εἶναι διδάσκει δι' ὧν φησιν· »ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεόν«, οὐχὶ ὡς ἑνὸς ὄντος μόνου τοῦ θεοῦ, ἀλλ' ὡς ἑνὸς ὄντος μόνου ἀληθινοῦ θεοῦ μετὰ προσθήκης ἀναγκαιοτάτης τοῦ ἀληθινοῦ. ἐπεὶ καὶ αὐτὸς θεὸς μὲν ὁ υἱός, ἀλλ' οὐκ ἀληθινὸς θεός. εἷς γάρ ἐστι καὶ μόνος ἀληθινὸς θεὸς διὰ τὸ μὴ ἔχειν πρὸ αὐτοῦ τινα. εἰ δὲ καὶ αὐτὸς ὁ υἱὸς ἀληθινός, ἀλλ' ὡς εἰκὼν τοῦ ἀληθινοῦ θεοῦ εἴη ἂν καὶ θεός, ἐπεὶ »καὶ θεὸς ἦν ὁ λόγος«, οὐ μὴν ὡς ὁ μόνος ἀληθινὸς θεός.

4. Διελεῖν γὰρ τὸν λόγον τοῦ θεοῦ τολμήσας καὶ ἕτερον θεὸν τὸν λόγον ὀνομάσαι, οὐσίᾳ 4
τε καὶ δυνάμει διεστῶτα τοῦ πατρός, εἰς ὅσην βλασφημίαν ἐκπέπτωκεν ἔνεστιν σαφῶς ἀπ' αὐτῶν τῶν ὑπ' αὐτοῦ γραφέντων ῥητῶν ῥᾳδίως μανθάνειν. γέγραφεν δ' αὐταῖς λέξεσιν οὕτως·

1 f. Aber Euseb Dem. ev. IV 3, 10 (153, 31 ff.): τί γὰρ ἂν καὶ γένοιτο ταύτης (sc. ὀδμῆς) ἕτερον κατὰ πάντα τῷ πατρὶ ἀφωμοιωμένης, εἰ μή τι ἄρα ὑποβεβηκὸς καὶ χεῖρον; ὃ οὐδαμῶς ἡμῖν ἐν τῇ τοῦ υἱοῦ θεολογίᾳ παρεισακτέον. Und ebenda V 1, 18. 21 (213, 9 ff. 33 ff.) 3 vgl. Jh. 6,44 u. 14,28 Diese von dem Vulgattext abweichende Form von Jh. 14,28 findet sich bei Euseb sonst nicht. Sie begegnet bei Origenes In Joh. XXXII 29, 363 (475, 18) u. ö. und De princ. IV 4, 8 (360,5), Ps. Athan. Disputatio c. Ario 1 (II 206 A), Arnobius Conflictus II 1 (Migne PL 53, 273 A). Der Zusatz ὁ πέμψας findet sich bei Origenes auch zu Jh. 14,9, vgl. Hautsch, Evangelienzitate. TU 3. Reihe 4, 2a S. 152f. 5 διδάσκει sc. Christus 5 f. Zitiert von Euseb c. Marcell. I 4, 51—52 (28, 22—25): καὶ παραθέμενος (sc. Μάρκελλος) τὴν Εὐσεβίου λέξιν ⟨οὐ⟩ συνίησιν ὡς οὐκ ἦν αὐτοῦ ἡ τὸν πατέρα μόνον ἀληθινὸν θεὸν διδάσκουσα φωνή, τοῦ δὲ σωτῆρος ἡμῶν τοῦ εἰρηκότος »ἵνα γινώσκωσι« κτλ. Vgl. Euseb eccl. theol. II 22, 1. 2 (132, 13 ff.); II 23, 2 (133, 25 ff.) | Jh. 17,3 6 f. Zitiert von Marcell von Ancyra bei Euseb c. Marcell. I 4,51 (28,18—19): γέγραφεν (sc. Εὐσέβιος) γὰρ οὐχ ὡς ὄντος μόνου θεοῦ, ἀλλ' ἑνὸς ὄντος τοῦ μόνου ἀληθινοῦ θεοῦ 7 ἐπεὶ— 8 θεός[1] vgl. Athan. de syn. 17 (I 730 D/E): ὁ δὲ ἀπὸ Καισαρείας τῆς Παλαιστίνης Εὐσέβιος γράφων πρὸς Εὐφρατίωνα τὸν ἐπίσκοπον οὐκ ἐφοβήθη φανερῶς εἰπεῖν, ὅτι ὁ Χριστὸς οὐκ ἔστιν ἀληθινὸς θεός. Vgl. de syn. 36 (I 752 B); de decret. Nic. 6 (I 213 B) 9 zu εἰκών vgl. Euseb Dem. ev. IV 2,2 (152, 7 ff.): ... οἱ χρησμοὶ ... ἀποφαίνουσιν, ὡς ἂν τῆς ἀνεκφράστου καὶ ἀπερινοήτου θεότητος μόνον ἐν αὐτῷ φέροντα τὴν εἰκόνα, δι' ἣν καὶ θεὸν εἶναί τε αὐτόν 10 Jh. 1,1. Vgl. Euseb Comm. in Ps. 85 (Montfaucon, Collectio nova patr. I 534 C); Origenes In Joh. II 2, 13 ff. (54, 12 ff.), de princ. I 2, 6 (36, 4 ff.); I 2, 13 (47, 2 ff.) 11 Nr. 4. Marcellfrgm. τολμήσας sc. Εὐσέβιος | Vgl. Euseb c. Marc. I 4, 62 (30, 22 f.) 12 Vgl. ebd. I 4, 62 (30, 23—24) u. 4, 59 (29, 30 f.), aber hier statt διεστῶτα : ὑφεστῶτα

Conc. Nic. II.: 1—3 u. 7 ἐπεὶ — 8 θεός[2] Actio VI (A B C D E G Lat.) 4—10 Actio V (A B C D E Lat.) 11—S. 6, 2 Euseb c. Marc. I 4,40—41 (26, 14—21)

1 πάντων] πάντα B Lat. | ἐπιστάμενος ἀκριβῶς ∼ B 4 ἐπιστολῆς + καὶ μεθ' ἕτερα D 5 εἶναι > B | γινώσκωσι] γινώσκω B 6 οὐχὶ] οὐχ B | μόνου ὄντος ∼ D | μόνου ὄντος[2] ∼ D 7 θεοῦ > B | μὲν θεὸς ∼ Actio V (D) Actio VI | μὲν > Actio V (B) 8 ἀλλ' οὐκ — 9 ἀληθινός > B 8/9 πρὸ αὐτοῦ] πρὸς αὐτῶν A | αὐτοῦ] ἑαυτοῦ D | τινα > D 10 ὁ μόνος] οὐ μόνον B

Verum tamen ipse filius dei, qui magis omnia liquido novit, alium se a patre et minorem 2
atque inferiorem sciens admodum pie hoc etiam nos docet dicens: pater qui misit me maior me est.

Et lectum est ex eadem epistola: 3

Eundem autem et solum verum esse docet per ea, quae ait: „ut sciant te solum verum deum" non quasi unus solus esset deus, sed tamquam unus existeret verus deus cum additamento pernecessario veri. nam et ipse quidem filius deus, sed non verus ut deus. unus enim est et solus verus deus, eo quod non habeat ante se quemquam. quod si et ipse filius verus est, sed sicut imago veri dei si⟨c⟩ dumtaxat et deus est, nam „et deus erat verbum", non tamen ut solus verus deus.

Conc. Nic. II.: 1—2 u. 6 nam—deus[2] Actio VI (I K L M N O) 3—9 Conc. Nic. II Actio V (I K L M N O)

1 a > I 2 maior + e O 3 epistola + VIIII I + X K 4 que LN | ayt O 5 sed — deus > I | verus > LMNO 6 pernessarii O necessario LM | deus[1]] dei K | deus[1] + est Actio VI | ut > Actio VI | verus — 7 solus > LM | quod[2] + et N (doch exp.) 8 sicut] sic L | ymago MNO | veri] vera LM | sic ed. Rom. Labbé usw.] si Ms. (si corr. in sic M)

Οὐ δήπου δὲ ἡ εἰκὼν καὶ τὸ οὗ ἐστιν ἡ εἰκὼν ἓν καὶ ταὐτὸν ἐπινοεῖται, ἀλλὰ δύο μὲν οὐσίαι καὶ δύο πράγματα καὶ δύο δυνάμεις, ὡς καὶ τοσαῦται προσηγορίαι.

5 5. Ἄνθρωπον γὰρ μόνον τὸν σωτῆρα δεῖξαι βουλόμενος, ὡς μέγιστον ἡμῖν ἀπόρρητον τοῦ ἀποστόλου ἀνακαλύπτων μυστήριον, οὕτως ἔφη·

Διὸ σαφέστατα καὶ ὁ θεῖος ἀπόστολος τὴν ἀπόρρητον ἡμῖν καὶ μυστικὴν παραδιδοὺς θεολογίαν βοᾷ καὶ κέκραγεν »εἷς ὁ θεός«, εἶτα μετὰ τὸν ἕνα θεόν φησιν »εἷς μεσίτης θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστός Ἰησοῦς«.

1f. Vgl. Euseb Dem. ev. V 1, 21 (213, 30ff.) | Vgl. Euseb. c. Marc. I 4, 46 (27, 24) 2 Zu δύο πράγματα vgl. Origenes c. Cels. VIII 12 (229, 31ff.); Alexander Urk. 14 S. 22, 7 3 Marcellfrgm. βουλόμενος sc. Εὐσέβιος. Vgl. Euseb. c. Marc. I 4, 61 (30, 16f.) 5ff. Vgl. ebd. I 4, 59 (30, 2ff.) mit einigen unbedeutenden Änderungen der Worte 6f. I Tim. 2,5

1/2 Euseb c. Marc. I 4, 40—41 (26, 14—21) 3—7 Euseb c. Marc. I 4, 57 (29, 19—24)

Urkunde 4a.

Alexander von Alexandrien an seinen Klerus.

(ca. 319)

Ἀλέξανδρος πρεσβυτέροις καὶ διακόνοις Ἀλεξανδρείας καὶ Μαρεώτου, παρὼν παροῦσιν, ἀγαπητοῖς ἀδελφοῖς ἐν κυρίῳ χαίρειν.

1 Εἰ καὶ φθάσαντες ὑπεγράψατε οἷς ἐπέστειλα τοῖς περὶ Ἄρειον προτρέπων αὐτοῖς ἀρνήσασθαι μὲν τὴν ἀσέβειαν πεισθῆναι δὲ τῇ ὑγιαινούσῃ καὶ καθολικῇ πίστει, καὶ ἐδείξατε ἑαυτῶν ὀρθὴν τὴν προαίρεσιν καὶ τὴν ἐν τοῖς δόγμασι συμφωνίαν τῆς καθολικῆς ἐκκλησίας, ὅμως ἐπειδὴ καὶ πρὸς τοὺς ἁπανταχοῦ συλλειτουργοὺς ἐπέστειλα περὶ τῶν περὶ Ἄρειον, ἀναγκαῖον ἡγησάμην ὑμᾶς μὲν τοὺς τῆς πόλεως κληρικοὺς συναγαγεῖν,
2 ὑμᾶς δὲ τοὺς ἀπὸ τοῦ Μαρεώτου μεταπέμψασθαι· μάλιστα ὅτι καὶ ἀφ' ὑμῶν Χάρης καὶ Πιστὸς πρεσβύτεροι, καὶ Σαραπίων καὶ Παράμμων καὶ Ζώσιμος καὶ Εἰρηναῖος διάκονοι ἐπηκολούθησαν τοῖς περὶ Ἄρειον καὶ ἠγάπησαν σὺν αὐτοῖς καθαιρεθῆναι· ἵνα καὶ τὰ νῦν γραφόμενα γνῶτε τήν τε ἐν τούτοις συμφωνίαν ἑαυτῶν ἐπιδείξησθε καὶ τῇ καθαι-
3 ρέσει τῶν περὶ Ἄρειον καὶ τῶν περὶ Πιστὸν σύμψηφοι γένησθε. πρέπει γὰρ τὰ παρ' ἐμοῦ γραφόμενα γινώσκειν ὑμᾶς καὶ ἕκαστον ὡς παρ' αὐτοῦ γραφόμενα ἐν τῇ καρδίᾳ κατέχειν.

Ath. Montf. I 396 (BKO RE).

4 ἀρνείσασθαι R | μὲν > B 6 περὶ > E 7 ἀνάγκην E 8 τοῦ > E 9 Σεραπίων K

Urkunde 4b.

Brief Alexanders von Alexandrien an alle Bischöfe.

(ca. 319)

1 Τοῖς ἀγαπητοῖς καὶ τιμιωτάτοις συλλειτουργοῖς τοῖς ἁπανταχοῦ τῆς καθολικῆς ἐκκλησίας Ἀλέξανδρος ἐν κυρίῳ χαίρειν.

2 Ἑνὸς σώματος ὄντος τῆς καθολικῆς ἐκκλησίας ἐντολῆς τε οὔσης ἐν ταῖς θείαις γραφαῖς τηρεῖν τὸν σύνδεσμον τῆς ὁμονοίας καὶ εἰρήνης ἀκόλουθόν ἐστι γράφειν ἡμᾶς καὶ σημαίνειν ἀλλήλοις τὰ παρ' ἑκάστου γινόμενα, ἵνα εἴτε πάσχει εἴτε χαίρει ἓν μέλος ἢ συμ-
3 πάσχωμεν ἢ συγχαίρωμεν ἀλλήλοις. ἐν τῇ ἡμετέρᾳ τοίνυν παροικίᾳ ἐξῆλθον νῦν ἄνδρες

3 vgl. Eph. 4, 3. 4 5/6 vgl. I. Kor. 12, 26

Ath. Montf. I 397 (B RE) Sokr. I 6, 4 (MA FHC G Σ) Gel. II 3, 1 (a b c) Th.

1 τοῖς > Ath. (RE). 3 τῆς καθολικῆς ἐκκλησίας ὄντος ∼ Th. | καὶ ἐντολῆς οὔσης Th. (τε > Sokr. G) 5 ἑκάστοις Sokr. Gel. ἑκάστῳ Th. | πάσχῃ u. χαίρῃ Ath. (RE, aber πάσχει E) πάσχῃ u. χαίρει Th. | ἢ > Th.

παράνομοι καὶ χριστομάχοι διδάσκοντες ἀποστασίαν, ἣν εἰκότως ἄν τις πρόδρομον
τοῦ ἀντιχρίστου ὑπονοήσειε καὶ καλέσειεν. καὶ ἐβουλόμην μὲν σιωπῇ παραδοῦναι τὸ 4
τοιοῦτον, ὅπως ἐν τοῖς προστάταις μόνοις ἀναλωθῇ τὸ κακὸν καὶ μὴ εἰς ἑτέρους τόπους
διαβὰν τὸ τοιοῦτον ῥυπώσῃ τινῶν ἀκεραίων τὰς ἀκοάς. ἐπειδὴ δὲ Εὐσέβιος ὁ νῦν ἐν
τῇ Νικομηδείᾳ νομίσας ἐπ' αὐτῷ κεῖσθαι τὰ τῆς ἐκκλησίας, ὅτι καταλείψας τὴν Βηρυτὸν
καὶ ἐποφθαλμίσας τῇ ἐκκλησίᾳ Νικομηδέων καὶ οὐκ ἐκδεδίκηται κατ' αὐτοῦ, προΐσταται
καὶ τούτων τῶν ἀποστατῶν καὶ γράφειν ἐπεχείρησε πανταχοῦ συνιστῶν αὐτούς, ὅπως
ὑποσύρῃ τινὰς ἀγνοοῦντας εἰς τὴν αἰσχίστην ταύτην καὶ χριστομάχον αἵρεσιν, ἀνάγκην
ἔσχον εἰδὼς τὸ ἐν τῷ νόμῳ γεγραμμένον μηκέτι μὲν σιωπῆσαι, ἀναγγεῖλαι δὲ πᾶσιν ὑμῖν,
ἵνα γινώσκητε τούς τε ἀποστάτας γενομένους καὶ τὰ τῆς αἱρέσεως αὐτῶν δύστηνα ῥήματα 5
καί, ἐὰν γράφῃ Εὐσέβιος, μὴ προσέχητε. παλαιὰν γὰρ αὐτοῦ κακόνοιαν τὴν χρόνῳ
σιωπηθεῖσαν νῦν διὰ τούτων ἀνανεῶσαι βουλόμενος σχηματίζεται μὲν ὡς ὑπὲρ τούτων γράφειν, ἔργῳ δὲ δείκνυσιν, ὅτι ὑπὲρ ἑαυτοῦ σπουδάζων τοῦτο ποιεῖ.

Οἱ μὲν οὖν ἀποστάται γενόμενοί εἰσιν Ἄρειος καὶ Ἀχιλεὺς καὶ Ἀειθαλῆς καὶ Καρ- 6
πώνης καὶ ἕτερος Ἄρειος καὶ Σαρμάτης οἱ ποτὲ πρεσβύτεροι· καὶ Εὐζώϊος καὶ Λούκιος
καὶ Ἰούλιος καὶ Μηνᾶς καὶ Ἑλλάδιος καὶ Γάϊος οἱ ποτὲ διάκονοι· καὶ σὺν αὐτοῖς Σεκοῦνδος
καὶ Θεωνᾶς οἱ ποτὲ λεχθέντες ἐπίσκοποι. ποῖα δὲ παρὰ τὰς γραφὰς ἐφευρόντες λαλοῦσιν, 7
ἔστι ταῦτα·

»Οὐκ ἀεὶ ὁ θεὸς πατὴρ ἦν, ἀλλ' ἦν ὅτε ὁ θεὸς πατὴρ οὐκ ἦν. οὐκ ἀεὶ ἦν ὁ τοῦ θεοῦ λόγος, ἀλλ' ἐξ οὐκ ὄντων γέγονεν. ὁ γὰρ ὢν θεὸς τὸν μὴ ὄντα ἐκ τοῦ μὴ ὄντος πεποίηκε. διὸ καὶ ἦν ποτε ὅτε οὐκ ἦν. κτίσμα γάρ ἐστι καὶ ποίημα ὁ υἱός. οὔτε δὲ ὅμοιος κατ' οὐσίαν τῷ πατρί ἐστιν οὔτε ἀληθινὸς καὶ φύσει τοῦ πατρὸς λόγος ἐστὶν οὔτε ἀληθινὴ σοφία αὐτοῦ ἐστιν, ἀλλ' εἷς μὲν τῶν ποιημάτων καὶ γενητῶν ἐστι, καταχρηστικῶς δὲ λέγεται

---

5 Vgl. Athan. Apol. c. Arian. 6 (I 129 c) 7 Vgl. Urk. 8 19—S. 8, 10 bei Georgius Monachus 504, 22—506, 16 de Boor | Anders Dionysius Alex. bei Athan. de sententia Dion. 15 (I 253 E = Feltoe 186, 4) | Hier steht Arius gegen die alexandrinische Tradition z. B. Theognost, bei Athan. de decret. nic. 25 (I 230 B/C): οὐκ ἔξωθέν τίς ἐστιν ἐφευρεθεῖσα ἡ τοῦ υἱοῦ οὐσία οὐδὲ ἐκ μὴ ὄντων ἐπεισήχθη 20 Vgl. Arius bei Athanasius Or. II c. Arian. 18 (I 486 B): ὁ ὢν τὸν μὴ ὄντα ἐκ τοῦ ὄντος πεποίηκεν | Ganz das Gegenteil behauptet Origenes stets: οὐκ ἔστιν ὅτε οὐκ ἦν so de princ. I 2, 9 (40, 11); IV 4, 1 (28) (349, 6. 17; 350, 1. 18) 21 ff. vgl. Arius bei Athanasius de decret. Nic. 6 (I 213 A/B): κτίσμα γάρ ἐστι καὶ ποίημα ὁ λόγος καὶ ξένος καὶ ἀνόμοιος κατ' οὐσίαν τοῦ πατρός ἐστιν. οὔτε δὲ φύσει καὶ ἀληθινὸς λόγος τοῦ πατρός ἐστιν ὁ υἱός. οὔτε ἡ μόνη καὶ ἀληθινὴ σοφία αὐτοῦ ἐστιν. ἀλλὰ κτίσμα καὶ εἷς τῶν ποιημάτων ὢν καταχρηστικῶς λέγεται λόγος καὶ σοφία 21 Vgl. S. 12, 9 und Arius bei Athan. de syn. 15 (I 728 C): ἴδιον οὐδὲν ἔχει τοῦ θεοῦ καθ' ὑπόστασιν ἰδιότητος· οὐδὲ γάρ ἐστιν ἴσος, ἀλλ' οὐδὲ ὁμοούσιος αὐτῷ 23 Vgl. Arius Urk. 6 S. 12, 9 f.

Ath. (B RE) Sokr. (MA FHC G Σ) Gel. (a b c) Th.

---

2 ὑπονοήσειε] νομίσειε Sokr. 3 ὅπως] ἴσως Ath. (ἵν' von sp. Hd. eingeschoben R) ἵν' ἴσως Sokr. Σ | προστάταις] ἀποστάταις Sokr. Σ Gel. Th. | ἀναλοθείη Th. 4 τὸ τοιοῦτον > Sokr. | ὁ > Gel. Hss. 6 τὴν ἐκκλησίαν Νικομηδείας Th. | καὶ² > Sokr. Gel. Th. | κατ' αὐτοῦ] κατ' αὐτὸν Sokr. (M) τὰ κατ' αὐτοῦ Th. παρ' αὐτοῦ Ath. (B) τὰ κατ' αὐτὸν Gel. 7 ὅπως] ἴσως Ath. Sokr. (ἵνα μὴ ἴσως M^c) Σ εἴ πως Th. 8 ὑποσύρει Sokr. (AHC) Th. | αἰσχίστην] αἰσχάτην Th. ἐσχάτην Sokr. Gel. | ταύτην > Sokr. (M FHC G) Th. 9 δὲ + λοιπὸν Gel. (abM²P¹) Th. | ὑμῖν] ἡμῖν Th. > Sokr. (A) 10 ῥημάτια Sokr. (M FHC G) Gel. 11 παλαιὰν] τὴν πάλαι Sokr. Th. 12/13 μὲν hinter τούτων Ath. (E) 13 γράφειν] γράφων Sokr. | ὅτι] ὡς ὅτι Sokr. (M FHC G) ὅτι ὥσπερ Sokr. (A) 14 καὶ¹ ² > Sokr. | Ἀχιλλεὺς Ath. (E) Gel. (b c) Ἀχιλλᾶς Sokr. Th. | καὶ² + οἱ μετ' αὐτῶν ἀποστάντες Th. | Θαλῆς Gel. 15 οἱ ποτὲ πρεσβύτεροι > Sokr. Σ Gel. Th. 16 Ἰουλιανὸς Sokr. (aber Ἰούλιος Σ) | οἱ ποτὲ διάκονοι > Sokr. Σ Gel. Th. | καὶ Γάϊος > Ath. (E) | σὺν αὐτοῖς > Th. 17 ταῖς γραφαῖς Ath. (B R) | ποῖα — γραφὰς] ἃ δὲ παρ' αὐτοῖς Th. 18 ταῦτα + πῶς φρονοῦσιν Ἀρειανοί Sokr. (F H C; a. Rd. AG. Es fehlt Σ) 19 ἀλλ' — ἦν³ > Th., aber 20 ἀλλ' — γέγονεν] ἀλλ' ἦν ὅτε ὁ θεὸς πατὴρ οὐκ ἦν, ὁ δὲ τοῦ θεοῦ λόγος ἐξ οὐκ ὄντων ἐγένετο Th. 22 οὔτε¹ + δὲ Th. | ἀληθινὸς + ἐστιν Th. | καὶ φύσει — 23 ἐστιν¹] οὔτε ἀληθινὴ σοφία αὐτοῦ ἐστιν οὔτε ἀληθινὸς καὶ φύσει τοῦ πατρὸς λόγος ἐστίν Th. | λέγεται > Sokr. Σ

λόγος καὶ σοφία, γενόμενος καὶ αὐτὸς τῷ ἰδίῳ τοῦ θεοῦ λόγῳ καὶ τῇ ἐν τῷ θεῷ σοφίᾳ
8 ἐν ᾗ καὶ τὰ πάντα καὶ αὐτὸν πεποίηκεν ὁ θεός. διὸ καὶ τρεπτός ἐστι καὶ ἀλλοιωτὸς τὴν
φύσιν ὡς καὶ πάντα τὰ λογικά. ξένος τε καὶ ἀλλότριος καὶ ἀπεσχοινισμένος ἐστὶν ὁ λόγος
τῆς τοῦ θεοῦ οὐσίας καὶ ἀόρατός ἐστιν ὁ πατὴρ τῷ υἱῷ. οὔτε γὰρ τελείως καὶ ἀκριβῶς
γινώσκει ὁ λόγος τὸν πατέρα, οὔτε τελείως ὁρᾶν αὐτὸν δύναται. καὶ γὰρ καὶ ἑαυτοῦ
9 τὴν οὐσίαν οὐκ οἶδεν ὁ υἱὸς ὡς ἔστι. δι' ἡμᾶς γὰρ πεποίηται, ἵνα ἡμᾶς δι' αὐτοῦ ὡς δι'
10 ὀργάνου κτίσῃ ὁ θεός. καὶ οὐκ ἂν ὑπέστη, εἰ μὴ ἡμᾶς ὁ θεὸς ἠθέλησε ποιῆσαι. ἠρώτησε
γοῦν τις αὐτούς, εἰ δύναται ὁ τοῦ θεοῦ λόγος τραπῆναι ὡς ὁ διάβολος ἐτράπη, καὶ οὐκ
ἐφοβήθησαν εἰπεῖν, ὅτι ναὶ δύναται· τρεπτῆς γὰρ φύσεώς ἐστι γενητὸς καὶ κτιστὸς
ὑπάρχων.
11 Ταῦτα λέγοντας τοὺς περὶ Ἄρειον καὶ ἐπὶ τούτοις ἀναισχυντοῦντας αὐτούς τε
καὶ τοὺς συνακολουθήσαντας αὐτοῖς ἡμεῖς μὲν μετὰ τῶν κατ' Αἴγυπτον καὶ τὰς Λιβύας
ἐπισκόπων ἐγγὺς ἑκατὸν ὄντων συνελθόντες ἀνεθεματίσαμεν. οἱ δὲ περὶ Εὐσέβιον
προσεδέξαντο σπουδάζοντες ἐγκαταμῖξαι τὸ ψεῦδος τῇ ἀληθείᾳ καὶ τῇ εὐσεβείᾳ τὴν ἀσέ-
βειαν. ἀλλ' οὐκ ἰσχύσουσι· νικᾷ γὰρ ἡ ἀλήθεια καὶ οὐδεμία ἐστὶ κοινωνία φωτὶ πρὸς
12 σκότος, οὐδὲ συμφώνησις Χριστοῦ πρὸς Βελίαρ. τίς γὰρ ἤκουσε πώποτε τοιαῦτα;
ἢ τίς νῦν ἀκούων οὐ ξενίζεται καὶ τὰς ἀκοὰς βύει ὑπὲρ τοῦ μὴ τὸν ῥύπον τούτων τῶν
ῥημάτων ψαῦσαι τῆς ἀκοῆς; τίς ἀκούων Ἰωάννου λέγοντος, »ἐν ἀρχῇ ἦν ὁ λόγος«, οὐ
καταγινώσκει τούτων λεγόντων, ἦν ποτε ὅτε οὐκ ἦν, ἢ τίς ἀκούων ἐν τῷ εὐαγγελίῳ
»μονογενὴς υἱός«, καὶ »δι' αὐτοῦ ἐγένετο πάντα«, οὐ μισήσει τούτους φθεγγομένους,
ὅτι εἷς ἐστιν τῶν ποιημάτων; πῶς γὰρ δύναται εἷς εἶναι τῶν δι' αὐτοῦ γενομένων, ἢ

---

3 Arius bei Athan. de syn. 15 (I 728 E): ξένος τοῦ υἱοῦ κατ' οὐσίαν ὁ πατήρ, ὅτι ἄναρχος ὑπάρχει. 3 ff. Vgl. Arius bei Athanasius Or. I. c. Arian. 6 (I 410 A/C): ἔθηκεν ἐν τῇ θαλίᾳ ὡς ἄρα καὶ τῷ υἱῷ ὁ πατὴρ ἀόρατος ὑπάρχει (ὑπάρχων Cod. Laur. S. Marco 695) καὶ οὔτε ὁρᾶν οὔτε γινώσκειν τελείως καὶ ἀκριβῶς δύναται ὁ λόγος τὸν ἑαυτοῦ πατέρα.... καὶ γὰρ καὶ ὁ υἱός, φησίν, οὐ μόνον τὸν πατέρα ἀκριβῶς οὐ γινώσκει, λείπει γὰρ αὐτῷ εἰς τὸ καταλαβεῖν, ἀλλὰ καὶ αὐτὸς ὁ υἱὸς τὴν ἑαυτοῦ οὐσίαν οὐκ οἶδε καὶ ὅτι μεμερισμέναι τῇ φύσει καὶ ἀπεξενωμέναι καὶ ἀπεσχοινισμέναι καὶ ἀλλότριοι καὶ ἀμέτοχοί εἰσιν ἀλλήλων αἱ οὐσίαι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος 4 Zu ἀόρατος vgl. Arius bei Athan. de syn. 15 (I 728 D): καὶ αὐτῷ τῷ υἱῷ ἀόρατος ὁ αὐτός 6f. Vgl. Athan. Or. II c. Arian. 24 (I 492 E); Euseb Dem. ev. IV 2, 2 (152, 11 ff.): ... αὐτὸν (sc. Christus) ἀγαθόν φασιν ὑπηρέτην πρὸς τοῦ πατρὸς ὑποβεβλῆσθαι, ἵνα ὥσπερ δι' ἑνὸς πανσόφου καὶ ζῶντος ὀργάνου τεχνικοῦ τε καὶ ἐπιστημονικοῦ κανόνος τὰ πάντα αὐτῷ ἀπευθύνοιτο ... Vgl. Theognost bei Gregor v. Nyssa c. Eunom. III tom. II, 121 (II 86, 24 ff. Jaeger). In dem Briefe des Hymenäus und seiner Genossen an Paul von Samosata (Loofs, P. v. S. S. 326,8) heißt es: δι' οὗ ὁ πατὴρ τὰ πάντα πεποίηκεν, οὐχ ὡς δι' ὀργάνου οὐδ' ὡς δι' ἐπιστήμης ἀνυποστάτου 9f. Vgl. Arius bei Athan. Or. I c. Arian. 9 (I 413 C): οὐκ ἔστιν ἄτρεπτος ὡς ὁ πατήρ, ἀλλὰ τρεπτός ἐστι φύσει ὡς τὰ κτίσματα, siehe auch Or. I 35 (I 439 B), Or. II 18 (I 486 B) Vgl. Origenes de princ. I 2, 4 (31,19), wonach gerade den geschaffenen Wesen eine veränderliche Natur zukommt, hingegen sagt Origenes de princ. I 2, 10 (44, 18f.) ausdrücklich, daß die σοφία d. i. der Sohn unveränderlich sei 12 Siehe auch Athan. Apol. c. Arian 71 (I 187 B) 15 Vgl. I. Esra 3,12 15/16 Vgl. II. Kor. 6, 14, 15 18 Jh. 1,1 20 Jh. 1, 18; 1, 3

Ath. (B RE) Sokr. (MA FHC G Σ) Gel. (a b c) Th.

---

1 γενόμενος — σοφίᾳ > Gel. (a V[1]) | αὐτὸς + δὲ Sokr. (aber δὲ + ἐν M[c]) + ὢν ἐν Th. | τῇ ἐν τῷ θεῷ σοφίᾳ] ἐν τῇ τοῦ θεοῦ σοφίᾳ Th. 4 θεοῦ] πατρὸς Th. | ἀόρατος (Σ)] ἄρρητος Ath. Sokr. Gel. 5 λόγος] υἱὸς Gel. (bc) Th. | αὐτὸν ὁρᾶν ~ Ath. (B) | καὶ[2] > Ath. (R) Sokr. Th. | ἑαυτοῦ] αὐτοῦ Gel. (Hbc) τοῦ θεοῦ Sokr. (A) Th. 7 ἤθελε Sokr. Gel. 9 ὅτι > Sokr. | ναὶ > Ath. | οἷα τρεπτῆς φύσεως ὢν καὶ γενητὸς Th., so etwa auch Σ | κτιστὸς] τρεπτὸς Sokr. Th. 12 τῶν — 13 ἐπισκόπων] τῶν κατ' Αἴγυπτον καὶ Λιβύην ἐπισκόπων Th. τῶν κατ' Αἴγυπτον ἐπισκόπων καὶ τῆς Λιβύης Sokr. 13 ὄντες Th. 14 συνκαταμῖξαι Sokr., Σ wie im Text 16 Χριστῷ Sokr. vgl. NT., Urk. 14 S. 24, 18 17 νῦν + τούτων τῶν ῥημάτων Th. 18 ψαῦσαι > Ath. (B) | τίς + γὰρ Gel. 20 ὁ μονογενὴς Ath. (E) Sokr. (M F H C G) Gel. (c) Th. vgl. NT. | τὰ πάντα Sokr. Th. 21 ποιημάτων + ὁ υἱός Sokr. Σ Th. | γὰρ] δὲ Sokr. Σ | εἷς (Σ)] ἴσος Sokr

πῶς μονογενὴς ὁ τοῖς πᾶσι κατ' ἐκείνους συναριθμούμενος; πῶς δὲ ἐξ οὐκ ὄντων ἂν εἴη
τοῦ πατρὸς λέγοντος »ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθὸν« καὶ »ἐκ γαστρὸς πρὸ
ἑωσφόρου ἐγέννησά σε«; ἢ πῶς ἀνόμοιος τῇ οὐσίᾳ τοῦ πατρὸς ὁ ὢν εἰκὼν τελεία 13
καὶ ἀπαύγασμα τοῦ πατρὸς καὶ λέγων »ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα«; πῶς δέ, εἰ
λόγος καὶ σοφία ἐστὶ τοῦ θεοῦ ὁ υἱός, ἦν ποτε ὅτε οὐκ ἦν; ἴσον γάρ ἐστι αὐτοὺς λέγειν
ἄλογον καὶ ἄσοφόν ποτε τὸν θεόν.

Πῶς δὲ τρεπτὸς καὶ ἀλλοιωτὸς ὁ λέγων δι' ἑαυτοῦ μὲν »ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ 14
πατὴρ ἐν ἐμοί« καὶ »ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν«, διὰ δὲ τοῦ προφήτου »ἴδετέ με ὅτι ἐγώ
εἰμι καὶ οὐκ ἠλλοίωμαι«; εἰ γὰρ καὶ ἐπ' αὐτόν τις τὸν πατέρα δύναται τὸ ῥητὸν ἀναφέρειν,
ἀλλὰ ἁρμοδιώτερον ἂν εἴη περὶ τοῦ λόγου νῦν λεγόμενον, ὅτι καὶ γενόμενος ἄνθρω-
πος οὐκ ἠλλοίωται, ἀλλ' ὡς εἶπεν ὁ ἀπόστολος· »Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ
αὐτὸς καὶ εἰς τοὺς αἰῶνας«. τίς δὲ ἄρα εἰπεῖν αὐτοὺς ἔπεισεν, ὅτι δι' ἡμᾶς γέγονε καίτοι
τοῦ Παύλου γράφοντος »δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα«. περὶ γὰρ τοῦ βλασ- 15
φημεῖν αὐτούς, ὅτι οὐκ οἶδεν τελείως ὁ υἱὸς τὸν πατέρα, οὐ δεῖ θαυμάζειν. ἅπαξ γὰρ προ-
θέμενοι χριστομαχεῖν παρακρούονται καὶ τὰς φωνὰς αὐτοῦ λέγοντος »καθὼς γινώσκει
με ὁ πατὴρ κἀγὼ γινώσκω τὸν πατέρα«. εἰ μὲν οὖν ἐκ μέρους ὁ πατὴρ γινώσκει τὸν υἱόν,
δῆλον ὅτι καὶ ὁ υἱὸς μὴ τελείως γινωσκέτω τὸν πατέρα. εἰ δὲ τοῦτο λέγειν οὐ θέμις,
οἶδεν δὲ τελείως ὁ πατὴρ τὸν υἱόν, δῆλον ὅτι καθὼς γινώσκει ὁ πατὴρ τὸν ἑαυτοῦ λόγον,
οὕτως καὶ ὁ λόγος γινώσκει τὸν ἑαυτοῦ πατέρα, οὗ καὶ ἔστι λόγος.

Ταῦτα λέγοντες καὶ ἀναπτύσσοντες τὰς θείας γραφὰς πολλάκις ἐνετρέψαμεν αὐτούς, 16
καὶ πάλιν ὡς χαμαιλέοντες μετεβάλοντο φιλονεικοῦντες εἰς ἑαυτοὺς ἑφελκύσαι τὸ γεγραμ-
μένον »ὅταν ἔλθῃ ἀσεβὴς εἰς βάθος κακῶν καταφρονεῖ«. πολλαὶ γοῦν αἱρέσεις πρὸ
αὐτῶν γεγόνασιν, αἵτινες πλέον τοῦ δέοντος τολμήσασαι πεπτώκασιν εἰς ἀφροσύνην.
οὗτοι δὲ διὰ πάντων ἑαυτῶν τῶν ῥηματίων ἐπιχειρήσαντες τὰ εἰς ἀναίρεσιν τῆς τοῦ λόγου
θεότητος ἐδικαίωσαν ἐξ ἑαυτῶν ἐκείνας ὡς ἐγγύτεροι τοῦ ἀντιχρίστου γενόμενοι. διὸ
καὶ ἀπεκηρύχθησαν καὶ ἀνεθεματίσθησαν ἀπὸ τῆς ἐκκλησίας. λυπούμεθα μὲν οὖν 17
ἐπὶ τῇ ἀπωλείᾳ τούτων καὶ μάλιστα, ὅτι μαθόντες ποτὲ καὶ αὐτοὶ τὰ τῆς ἐκκλησίας νῦν
ἀπεπήδησαν, οὐ ξενιζόμεθα δέ· τοῦτο γὰρ καὶ Ὑμέναιος καὶ Φίλητος πεπόνθασι καὶ
πρὸ αὐτῶν Ἰούδας, ὃς ἀκολουθήσας τῷ σωτῆρι ὕστερον προδότης καὶ ἀποστάτης γέγονε.

---

2 Ps. 44,2 2/3 Ps. 109,3 3 Theognost frg. Cod. Marc. 502 (Harnack TU NF 9,3 S. 78,2): ἔχων τὴν ὁμοιότητα τοῦ πατρὸς κατὰ τὴν οὐσίαν ἔχοι ἂν καὶ κατὰ τὸν ἀριθμόν Origenes frg. Comm. in ep. ad Hebr. (V, 300 Lommatzsch): quae utraeque similitudines (Sap. 7, 25) manifestissime ostendunt, communionem substantiae esse filio cum patre. aporrhoea enim ὁμοούσιος videtur id est unius substantiae cum illo corpore, ex quo est vel aporrhoea vel vapor 3/4 Vgl. Sap. Sal. 7,26; Kol. 1,15; Hebr. 1,3 4 Jh. 14,9 7 Vgl. Theognost frg. in Cod. Marc. 502 (Harnack a. a. O. 78, 7): εἷς δὲ ὢν καὶ τὴν τοῦ ἑνὸς ὁμοιότητα σώζων ἀκριβῆ ἀναλλοίωτος ἂν εἴη ἀναλλοιώτου πατρὸς μίμημα ὢν 7/8 Jh. 14,10 8 Jh. 10, 30 8/9 Vgl. Mal. 3, 6 11/12 Hebr. 13, 8 13 Hebr. 2, 10 15/16 Jh. 10,15 22 Prov. 18,3 28 Vgl. II. Tim. 2, 17

Ath. (B RE) Sokr. (MA FHC G Σ) Gel. (a b c) Th.

---

1 συναριθμούμενος + εἴπερ καὶ αὐτὸς κτίσμα ἐστὶ καὶ ποίημα Ath. Glosse aus S. 7,21 4 ἐμὲ ἑωρακὼς ~ Sokr. Gel. Th. 5 τοῦ > Th. 5 λέγειν + καὶ Th. 7 καὶ[1]] ἢ Sokr. | μὲν > Sokr. Th. 9 γὰρ] δὲ Sokr. | τὸ ῥητὸν δύναται ~ Sokr. τὸ ῥητὸν ἀναφέρειν δύναται ~ Th. 11 εἶπεν > Sokr. 12 τίς] τί Sokr. Σ Gel. Th. 13 γράφοντος] λέγοντος Gel. | γὰρ] μὲν οὖν Sokr. 15 αὐτοῦ + τοῦ κυρίου Sokr. αὐτοῦ λέγοντος τ. κ. ~ Sokr. (A) 16 γινώσκει ὁ πατὴρ ~ Sokr. 17 μὴ] οὐ Gel. (a c) | μὴ τελείως] ἐκ μέρους Sokr. | γινώσκει Sokr. Gel. Th. | οὐ θέμις] ἀσεβές Th. 20 καὶ ταῦτα Sokr. Σ Th. | ἀνετρέψαμεν Sokr. Gel. (H) 21 μετεβάλλοντο Sokr. Gel. μεταβάλλονται Th. 22 ὁ ἀσεβὴς Sokr. (MFHCG) | βάθη Sokr. | καταφρονῇ Ath. (RE) 24 τῶν ἑαυτῶν ~ Th. | αὐτῶν Sokr. (MFHCG) | ῥημάτων Sokr. Th. | τὰ > Ath. | τὰ εἰς ἀναίρεσιν (so Sokr. (A) ?] ταῖς ἀναιρέσεσι Sokr. 25 αὐτῶν Sokr. (G) Th. 26 ἀπεκηρύχθησαν ἀπὸ τῆς ἐκκλησίας καὶ ἀνεθεματίσθησαν Sokr. (MFHCG) | μὲν > Gel. (P[2]) Th. 27 καὶ αὐτοί ποτε ~ Th. 28 καὶ[1] < Th. 29 ὃς (Σ)] ὁ Ath. Sokr. (A) Gel. > Sokr. (MFHCG) | ὕστερον + γὰρ Ath. + δὲ Sokr. | γέγονε] γενόμενος Sokr.

18 Καὶ περὶ τούτων δὲ αὐτῶν οὐκ ἀδίδακτοι μεμενήκαμεν, ἀλλ' ὁ μὲν κύριος προείρηκε
»βλέπετε μή τις ὑμᾶς πλανήσῃ. πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες
ὅτι ἐγώ εἰμι καὶ ὁ καιρὸς ἤγγικε καὶ πολλοὺς πλανήσουσι. μὴ πορευθῆτε ὀπίσω αὐτῶν«.
ὁ δὲ Παῦλος μαθὼν ταῦτα παρὰ τοῦ σωτῆρος ἔγραψεν »ὅτι ἐν ὑστέροις καιροῖς ἀπο-
στήσονταί τινες τῆς ὑγιαινούσης πίστεως προσέχοντες πνεύμασι πλάνοις καὶ διδασκα-
19 λίαις δαιμονίων ἀποστρεφομένων τὴν ἀλήθειαν«. Τοῦ τοίνυν κυρίου καὶ σωτῆρος ἡμῶν
Ἰησοῦ Χριστοῦ διά τε ἑαυτοῦ παραγγείλαντος καὶ διὰ τοῦ ἀποστόλου σημάναντος περὶ
τῶν τοιούτων ἀκολούθως ἡμεῖς αὐτήκοοι τῆς ἀσεβείας αὐτῶν γενόμενοι ἀνεθεματίσαμεν,
καθὰ προείπομεν, τοὺς τοιούτους ἀποδείξαντες αὐτοὺς ἀλλοτρίους τῆς καθολικῆς ἐκκλη-
σίας τε καὶ πίστεως.
20 Ἐδηλώσαμεν δὲ καὶ τῇ ὑμετέρᾳ θεοσεβείᾳ, ἀγαπητοὶ καὶ τιμιώτατοι συλλειτουργοί,
ἵνα μήτε τινὰς ἐξ αὐτῶν, εἰ προπετεύσαιντο πρὸς ὑμᾶς ἐλθεῖν, προσδέξησθε μήτε Εὐσεβίῳ
ἢ ἑτέρῳ τινὶ γράφοντι περὶ αὐτῶν πεισθῆτε. πρέπει γὰρ ὑμᾶς Χριστιανοὺς ὄντας πάντας
τοὺς κατὰ Χριστοῦ λέγοντάς τε καὶ φρονοῦντας ὡς θεομάχους καὶ φθορέας τῶν ψυχῶν
ἀποστρέφεσθαι, καὶ μηδὲ κἂν χαίρειν τοῖς τοιούτοις λέγειν, ἵνα μήποτε καὶ ταῖς ἁμαρ-
τίαις αὐτῶν κοινωνοὶ γενώμεθα, ὡς παρήγγειλεν ὁ μακάριος Ἰωάννης. προσείπατε
τοὺς παρ' ὑμῖν ἀδελφούς. ὑμᾶς οἱ σὺν ἐμοὶ προσαγορεύουσιν.

21 Ἀλεξανδρείας πρεσβύτεροι.

Κόλλουθος πρεσβύτερος σύμψηφός εἰμι τοῖς γεγραμμένοις καὶ τῇ καθαιρέσει Ἀρείου καὶ τῶν σὺν αὐτῷ ἀσεβησάντων.
Ἀλέξανδρος πρεσβύτερος ὁμοίως.
Διόσκορος πρεσβύτερος ὁμοίως.
Διονύσιος πρεσβύτερος ὁμοίως.
Εὐσέβιος πρεσβύτερος ὁμοίως.
Ἀλέξανδρος πρεσβύτερος ὁμοίως.
Νειλαρᾶς πρεσβύτερος ὁμοίως.
Ἁρποκρατίων πρεσβύτερος ὁμοίως.
Ἀγαθὸς πρεσβύτερος. Νεμέσιος πρεσβύτερος.
Λόγγος πρεσβύτερος. Σιλβανὸς πρεσβύτερος.
Περώους πρεσβύτερος. Ἄπις πρεσβύτερος.
Προτέριος πρεσβύτερος. Παῦλος πρεσβύτερος.
Κῦρος πρεσβύτερος ὁμοίως.

Διάκονοι.

Ἀμμώνιος διάκονος ὁμοίως. Μακάριος διάκονος.

2/3 Lc. 21, 8 4 ff. I. Tim. 4, 1 15/16 vgl. II. Jh. 10

Ath. (B RE) Sokr. (MA FHC G Σ) Gel. (a b c) Th. ab Z. 18 Ath. (B R) Gel. (a b c)

1 δὲ] μὲν Th. 2 πλανήσει Th. 3 ὅτι > Sokr. Gel. (a) Th. vgl. Lc. | πλανήσωσι Ath. (E) Sokr. (A) | πορευθῆτε + οὖν Gel. (a c) Loe. vgl. Lc. 5 τινες + ἀπὸ Gel. | τῆς πίστεως τῆς ὑγιαινούσης ~ Sokr. Th. | πλάνης Ath. (B) Sokr. (A) Gel. Th. (wie im Text Σ) vgl. I. Tim 4,1 6 σωτῆρος καὶ κυρίου ~ Sokr. κυρίου καὶ θεοῦ καὶ σωτῆρος Ath. (B) 7 αὐτοῦ Sokr. Gel. (H) | παραγγέλλοντος Sokr. | ἀποστόλου] παύλου Σ | σημαίνοντος Ath. (RE) 9 καθάπερ Sokr. (A) Th. | ἀποδείξαντες + τε Ath. Gel. A^{2}c | ἀλλοτρίας Ath. (R) 10 τε > Sokr. (A) Gel. (a) 11 δὲ > Ath. | δὲ] οὖν Gel. 12 προπετεύσαιντο + καὶ Sokr. (MFHCG) Gel. | ἐλθεῖν + μὴ Sokr. (MFHCG; μὴ ausradiert M^{c}) 13 ὑμᾶς + ὡς Sokr. | ἡμᾶς Gel. 16 μακάριος] ἅγιος Th. 17 παρ' ὑμῖν] παρ' ἡμῶν Sokr. (HC) παρ' ὑμῶν Sokr. (MFG ὑμῖν M^{c}) 22/23 Διονύσιος, Διόσκορος ~ Ath. (B) Gel. (M^{2} P^{2}) 26 Νειλαρᾶς] Σίλας Gel. 28 Die Namen sind von links nach rechts zu lesen | Ἀγαθὸς] Ἀγάθων Gel. (a c) | ab Z. 28 setzt Gel. bei allen Namen ὁμοίως hinzu 29 Λογγῖνος Gel. (H) 30 Πιρωοὺς Gel.

Πιστὸς διάκονος ὁμοίως. Ἀθανάσιος διάκονος.
Εὐμενὴς διάκονος. Ἀπολλώνιος διάκονος.
Ὀλύμπιος διάκονος. Ἀφθόνιος διάκονος.
Ἀθανάσιος διάκονος. Μακάριος διάκονος.
Παῦλος διάκονος. Πέτρος διάκονος.
Ἀμβυτιανὸς διάκονος. Γάϊος διάκονος ὁμοίως.
Ἀλέξανδρος διάκονος. Διονύσιος διάκονος.
Ἀγάθων διάκονος. Πολύβιος διάκονος ὁμοίως.
Θεωνᾶς διάκονος. Μάρκος διάκονος.
Κώμοδος διάκονος. Σεραπίων διάκονος.
Νεῖλος διάκονος. Ῥωμανὸς διάκονος ὁμοίως.

Μαρεώτου πρεσβύτεροι.

Ἀπολλώνιος πρεσβύτερος σύμψηφός εἰμι τοῖς γεγραμμένοις καὶ τῇ καθαιρέσει Ἀρείου καὶ τῶν σὺν αὐτῷ ἀσεβησάντων.
Ἰνγένιος πρεσβύτερος ὁμοίως. Ἀμμώνιος πρεσβύτερος.
Διόσκορος πρεσβύτερος. Σωστρᾶς πρεσβύτερος.
Θέων πρεσβύτερος. Τύραννος πρεσβύτερος.
Κόπρης πρεσβύτερος. Ἀμμωνᾶς πρεσβύτερος.
Ὡρίων πρεσβύτερος. Σερῆνος πρεσβύτερος.
Δίδυμος πρεσβύτερος. Ἡρακλῆς πρεσβύτερος.
Βόκκων πρεσβύτερος. Ἀγαθὸς πρεσβύτερος.
Ἀχιλλᾶς πρεσβύτερος. Παῦλος πρεσβύτερος.
Θαλέλαιος πρεσβύτερος. Διονύσιος πρεσβύτερος ὁμοίως.

Διάκονοι.

Σαραπίων διάκονος ὁμοίως.
Ἰοῦστος διάκονος ὁμοίως.
Δίδυμος διάκονος. Δημήτριος διάκονος.
Μαῦρος διάκονος. Ἀλέξανδρος διάκονος.
Μάρκος διάκονος. Κόμων διάκονος.
Τρύφων διάκονος. Ἀμμώνιος διάκονος.
Δίδυμος διάκονος. Πτολλαρίων διάκονος.
Σέρας διάκονος. Γάϊος διάκονος.
Ἱέραξ διάκονος. Μάρκος διάκονος.
Θεωνᾶς διάκονος. Σαρμάτων διάκονος.
Κάρπων διάκονος. Ζώιλος διάκονος ὁμοίως.

Ath. (B R) Gel. (a b c)

---

4 διάκονος^{2} + ὁμοίως Ath. (R) 6 Ἀμυντιανὸς Gel. | ὁμοίως > Ath. (B) 7—11 fehlt bei Gel. 8 ὁμοίως > Ath. (B) 11 Νεῖλον Ath. (R) 13 Ἀπολλῶς Gel. | πρεσβύτερος — 14 ἀσεβησάντων] πρεσβύτερος ὁμοίως Gel. 15 Ἰγγένιος Gel. (A^{2}M^{2}P^{1}V^{1}) | Ἀμμωνᾶς Gel. | ab Z. 15 immer hinter dem Titel ὁμοίως Gel. 21 Ἀγάθων Gel. (aP^{3}M^{2}P^{2}) 22 Παῦλος — 23 > Gel. 28/29 Μάρκος, Κόμων, Ἀλέξανδρος ∼ Gel. 28 > Ath. (B) 31 Πτολαρίων Gel. (a c) | Δίδυμος — 32 Σέρας διάκονος > Ath. (B) 34/35 > Gel.

Urkunde 5.

Regest des Synodalschreibens der Synode in Bithynien.

(ca. 320)

Καὶ σύνοδον ἐν Βιθυνίᾳ συγκροτήσαντες γράφουσι τοῖς πανταχῇ ἐπισκόποις, ὡς ὀρθῶς δοξάζουσι κοινωνῆσαι τοῖς ἀμφὶ τὸν Ἄρειον, παρασκευάσαι δὲ καὶ Ἀλέξανδρον κοινωνεῖν αὐτοῖς.

Soz. I 15, 10 (A B² K) Th.

---

1 ἁπανταχῇ Th. 3 αὐτούς Soz. (B²)

Urkunde 6.

Glaubensbekenntnis des Arius und seiner Genossen an Alexander von Alexandrien.

(ca. 320)

1 Μακαρίῳ πάπᾳ καὶ ἐπισκόπῳ ἡμῶν Ἀλεξάνδρῳ οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι ἐν κυρίῳ χαίρειν.

2 Ἡ πίστις ἡμῶν ἡ ἐκ προγόνων, ἣν καὶ ἀπὸ σοῦ μεμαθήκαμεν, μακάριε πάπα, ἔστιν αὕτη. οἴδαμεν ἕνα θεόν, μόνον ἀγέννητον, μόνον ἀΐδιον, μόνον ἄναρχον, μόνον ἀληθινόν, μόνον ἀθανασίαν ἔχοντα, μόνον σοφόν, μόνον ἀγαθόν, μόνον δυνάστην, πάντων κριτήν, διοικητήν, οἰκονόμον, ἄτρεπτον καὶ ἀναλλοίωτον, δίκαιον καὶ ἀγαθόν, νόμου καὶ προφητῶν καὶ καινῆς διαθήκης θεόν, γεννήσαντα υἱὸν μονογενῆ πρὸ χρόνων αἰωνίων, δι' οὗ καὶ τοὺς αἰῶνας καὶ τὰ ὅλα πεποίηκε, γεννήσαντα δὲ οὐ δοκήσει, ἀλλὰ ἀληθείᾳ, ὑποστήσαντα ἰδίῳ θελήματι, ἄτρεπτον καὶ ἀναλλοίωτον, κτίσμα τοῦ θεοῦ τέλειον, ἀλλ'
3 οὐχ ὡς ἓν τῶν κτισμάτων, γέννημα, ἀλλ' οὐχ ὡς ἓν τῶν γεγεννημένων, οὐδ' ὡς Οὐαλεντῖνος προβολὴν τὸ γέννημα τοῦ πατρὸς ἐδογμάτισεν, οὐδ' ὡς Μανιχαῖος μέρος ὁμοούσιον τοῦ πατρὸς τὸ γέννημα εἰσηγήσατο, οὐδ' ὡς Σαβέλλιος τὴν μονάδα διαιρῶν υἱοπάτορα

---

4 zu μόνον ἀγέννητον vgl. Urk. 1 S. 2, 8, aber Urk. 14. S. 26, 30 f.; 27, 14 f. 6 f. Vgl. Urk. 14. S. 27, 3 | νόμου — 10 κτισμάτων zitiert Urk. 7 S. 14, 7 ff. 8 οὐ δοκήσει vgl. Origenes de princ. I praef. 4 (10, 11) und in Joh. frg. 53 (527, 18), doch kann diese Stelle, da sie die römischen Katenen nicht bezeugen, etwa Arius entnommen sein 8/9 Vgl. Urk. 1 S. 3, 1 | zu ὑποστήσαντα vgl. Hilarius de trinit. 6, 18 (II 145 A ed. Maur.) 9/10 zitiert von Athan. Or. II c. Arian. 19 (I 486 E) 11 zu προβολή vgl. vor allem Irenaeus bei Epiph. haer. 31, 27 ff. (I 426, 1 ff.) und haer. 31, 13, 3. 7 (I 405, 11; 406, 3), Tertullian adv. Valent. 27 (CSEL 47, 203, 11), adv. Prax. 8 (CSEL 47, 237, 19 ff.), siehe auch die interessante Stelle bei Tertullian Apol. 21 (I 198 ed. mai. Oehler), vgl. die Polemik des Origenes de princ. IV 4, 1 (28) (348, 7 ff.). Der zweite Punkt der Anklagen gegen Origenes, von denen Pamphilus in seiner Apologia pro Origene berichtet (lib. I 5; Opera Origenis ed. Lommatzsch 24, 353), lautet: Secunda quod dicunt per prolationem secundum Valentini fabulas in subsistentiam venisse filium dei dicere | Zu Μανιχαῖος und ὁμοούσιον vgl. Loofs, Das Nicänum, in Festgabe für Karl Müller 1922 S. 71, 1 12 Der Terminus υἱοπάτωρ wird Sabellius zugeschrieben von Ps. Athan. (Eustathius v. Ant.) expos. fidei 2 (I 100 B), Euseb eccl. theol. I 1, 2 (62, 33) und II 5 (103, 7), Didymus adv. Arium et Sabellium (A. Mai, Nov. Patr. Bibl. IV, S. 1), vgl. auch Epiph. haer. 62, 2, 5 (II 391, 9) und Leontius v. Byzanz de sectis 3, 3 (Migne PG 86¹, 1216 A). Sonst siehe Newman, Select treatises of St. Athanasius II 475 ff.

Ath. de synodis 16 (BKOP R) Epiph. 69, 7 (I) Hil. de trin. IV 12 f. VI 5 f.

1—4 αὕτη > Hil. 1 καὶ¹ > Ath. (BKOP) 5 μόνον σοφόν > Hil. | πάντων] μόνον Epiph. | κριτήν + πάντων Epiph. | κριτήν] creatorem = κτιστήν Hil. 6 διοικητήν + καὶ Hil. | καὶ¹ > Hil. 7 διαθήκης θεόν Euseb Urk. 7 S. 14, 8 διαθήκης τοῦτον θεόν Ath. Epiph. Hil. 8 ὅλα] ἄλλα Ath. (B) λοιπὰ Epiph. 8/9 ὑποστήσαντα + δὲ Epiph. | ὑποστήσαντα] obsecutum Hil. 10 γεγεννημένων] γεννημάτων Epiph. Athan. Or. II 19 | οὐχ — γεγεννημένων] non sicuti ceterae facturae = οὐδ' ὡς τὰ λοιπὰ γεγενημένα Hil. 11 τὸ] καὶ Ath. (K) | ὡς + ὁ Epiph. 12 Σαβέλλιος + ὁ Epiph.

εἶπεν. οὐδ' ὡς Ἱερακᾶς λύχνον ἀπὸ λύχνου ἢ ὡς λαμπάδα εἰς δύο, οὐδὲ τὸν ὄντα πρότερον, ὕστερον γεννηθέντα ἢ ἐπικτισθέντα εἰς υἱόν, ὡς καὶ σὺ αὐτός, μακάριε πάπα, κατὰ μέσην τὴν ἐκκλησίαν καὶ ἐν συνεδρίῳ πλειστάκις τοὺς ταῦτα εἰσηγησαμένους ἀπηγόρευσας, ἀλλ' ὥς φαμεν, θελήματι τοῦ θεοῦ πρὸ χρόνων καὶ πρὸ αἰώνων κτισθέντα καὶ τὸ ζῆν καὶ τὸ εἶναι παρὰ τοῦ πατρὸς εἰληφότα καὶ τὰς δόξας, συνυποστήσαντος αὐτῷ τοῦ πατρός. οὐ γὰρ ὁ πατὴρ δοὺς αὐτῷ πάντων τὴν κληρονομίαν ἐστέρησεν ἑαυτὸν 4
ὧν ἀγεννήτως ἔχει ἐν ἑαυτῷ· πηγὴ γάρ ἐστιν πάντων. ὥστε τρεῖς εἰσιν ὑποστάσεις. καὶ ὁ μὲν θεὸς αἴτιος τῶν πάντων τυγχάνων ἐστὶν ἄναρχος μονώτατος, ὁ δὲ υἱὸς ἀχρόνως γεννηθεὶς ὑπὸ τοῦ πατρὸς καὶ πρὸ αἰώνων κτισθεὶς καὶ θεμελιωθεὶς οὐκ ἦν πρὸ τοῦ γεννηθῆναι, ἀλλ' ἀχρόνως πρὸ πάντων γεννηθείς, μόνος ὑπὸ τοῦ πατρὸς ὑπέστη. οὐδὲ γάρ ἐστιν ἀΐδιος ἢ συναΐδιος ἢ συναγέννητος τῷ πατρί, οὐδὲ ἅμα τῷ πατρὶ τὸ εἶναι ἔχει, ὥς τινες λέγουσι τὰ πρός τι, δύο ἀγεννήτους ἀρχὰς εἰσηγούμενοι. ἀλλ' ὡς μονὰς καὶ ἀρχὴ πάντων, οὕτως ὁ θεὸς πρὸ πάντων ἐστί. διὸ καὶ πρὸ τοῦ υἱοῦ ἐστιν, ὡς καὶ παρὰ σοῦ μεμαθήκαμεν κατὰ μέσην τὴν ἐκκλησίαν κηρύξαντος.

Καθὸ οὖν παρὰ τοῦ θεοῦ τὸ εἶναι ἔχει καὶ τὰς δόξας καὶ τὸ ζῆν καὶ τὰ πάντα αὐτῷ 5
παρεδόθη, κατὰ τοῦτο ἀρχὴ αὐτοῦ ἐστιν ὁ θεός. ἄρχει γὰρ αὐτοῦ ὡς θεὸς αὐτοῦ καὶ πρὸ αὐτοῦ ὤν. εἰ δὲ τὸ »ἐξ αὐτοῦ« καὶ τὸ »ἐκ γαστρὸς« καὶ τὸ »ἐκ τοῦ πατρὸς ἐξῆλθον καὶ ἥκω« ὡς μέρος αὐτοῦ ὁμοουσίου καὶ ὡς προβολὴ ὑπό τινων νοεῖται, σύνθετος ἔσται ὁ πατὴρ καὶ διαιρετὸς καὶ τρεπτὸς καὶ σῶμα κατ' αὐτοὺς καὶ τὸ ὅσον ἐπ' αὐτοῖς τὰ ἀκόλουθα σώματι πάσχων ὁ ἀσώματος θεός.

Ἐρρῶσθαί σε ἐν κυρίῳ εὔχομαι, μακάριε πάπα. Ἄρειος, Ἀειθαλῆς, Ἀχιλλεύς, Καρπώνης, Σαρμάτας, Ἄρειος πρεσβύτεροι. διάκονοι Εὐζώϊος, Λούκιος, Ἰούλιος, Μηνᾶς, Ἑλλάδιος, Γάϊος. ἐπίσκοποι Σεκοῦνδος Πενταπόλεως, Θεωνᾶς Λίβυς, Πιστός [ὃν κατέστησαν εἰς Ἀλεξάνδρειαν οἱ Ἀρειανοί].

---

1 zu Hierakas vgl. Epiph.haer 67 (III 132, 13 ff.) | Zum Bilde vom Leuchter vgl. Justin Dialog 128, 4 (250 Goodspeed) 4 ὥς φαμεν bezieht sich auf frühere Aussagen des Arius wie Urk. 1 S. 3, 1—2 4 ff. bei Foebadius c. Arianos 8 (Migne PL 20, 18 D) 7 zu τρεῖς ὑποστάσεις vgl. Origenes in Joh. II 10 (65,16) und Arius bei Athan. de syn. 15 (I 728 D): ἤγουν τριάς ἐστι δόξαις οὐχ ὁμοίαις. ἀνεπίμικτοι ἑαυταῖς εἰσιν αἱ ὑποστάσεις αὐτῶν 8 Vgl. Urk. 1 S. 3, 4 9 Vgl. Urk. 1 S. 3, 3 11 zu συναγέννητος vgl. Urk. 1 S. 2, 8; zu ἅμα τῷ πατρὶ vgl. Urk. 1 S. 2, 1 12 zu δύο ἀγεννήτους vgl. Urk. 14 S. 26, 23 ff. 17 Ps. 109, 3 17/18 Jh. 8, 42 18 ff. Eine ähnliche Abwehr bei Euseb eccl. theol. II 14 (115, 6 ff.) 23/24 Einschub nach Athan. Apol. c. Arian. 24 (I 144 C)

Ath. (BKOP R) Epiph. (I) Hil. 21—24 nur Epiph. (I)

---

1 Ἱέραξ Ath. (K) | ὡς[2] > Hil. | δύο + ⟨μεριζομένην⟩ Holl. 2/3 ἐν μέσῃ τῇ ἐκκλησίᾳ Epiph. 3 ἐν > Epiph. | ταῦτα] τοιαῦτα Ath. (K) Hil. 7 ὧν] τῶν Ath. (R) | ἀγενήτως Ath. (KOPR) | ὧν ἀγεννήτως ἔχει] ⟨τοῦ⟩ (Holl) τὸ ἀγεννήτως (ἀγένητον Holl) ἔχειν Epiph. (I) ab his quae non facta habentur ab ipso Hil. | ὑποστάσεις + πατὴρ υἱὸς καὶ ἅγιον πνεῦμα Epiph. Hil. 9/10 γεννηθῆναι] γεννηθῇ Ath. 10 ὑπὸ + μόνου Epiph. Hil. 11 συναγένητος Ath. (BKOR) Epiph. (Holl) 12 τὰ πρός τι] aut aliqui Hil. | ἀγενήτους Ath. (BKOR) Epiph. (Holl) | ἀρχὰς εἰσηγούμενοι ἀγεννήτους ∼ Ath. (BKOP) 13 ἀρχὴ + τῶν Ath. (K) Epiph. | οὕτως + καὶ Hil. | υἱοῦ] Χριστοῦ Epiph. | καὶ[2] > Ath. (K) Epiph. 14 ἐν μέσῃ τῇ ἐκκλησίᾳ Epiph. 15 τὸ ζῆν καὶ τὰς δόξας ∼ Epiph. | τὰ > Epiph. 16 παρεδόθη] παρασχόντα Epiph. (I) παρασχόντος Holl, der auch Z. 15 hinter ἔχει: ⟨τοῦ⟩ einsetzt | τοῦτο] τὸ Ath. (B) 17 ὢν — αὐτοῦ] ⟨ἔχων τὸ⟩ εἶναι διὰ τὸ ἐξ αὐτοῦ Epiph. | καὶ[1] + εἰ Epiph. | τοῦ > Epiph. 18 αὐτοῦ] τοῦ Epiph. | ὡς προβολὴν ἀποτείνων = quasi prolationem extendens Hil. 21 Ἐθάλης I.

Urkunde 7.

Brief des Euseb von Caesarea an Alexander von Alexandrien.

(ca. 320)

1 ʽΩσαύτως δὲ καὶ ἐν τῇ πρὸς τὸν ἅγιον ᾽Αλέξανδρον ἐπιστολῇ τὸν καθηγητὴν τοῦ μεγάλου ᾽Αθανασίου, ἧς ἡ ἀρχή·
Μεθ᾽ ὅσης μὲν ἀγωνίας καὶ μεθ᾽ ὅσης φροντίδος ἐπὶ ταῦτα ἦλθον τὰ γράμματα·
τρανότατα βλασφημῶν οὕτω φησὶ περὶ τοῦ ᾽Αρείου καὶ τῶν σὺν αὐτῷ·
2 Κατηγορεῖ αὐτῶν τὰ σὰ γράμματα ὡς λεγόντων, ὅτι ὁ υἱὸς ἐκ τοῦ μὴ ὄντος γέγονεν
ὡς εἷς τῶν πάντων. οἱ δὲ προήνεγκαν ἑαυτῶν γραμματεῖον, ὃ πρὸς σὲ πεποιήκασιν,
ἐν ᾧ τὴν ἑαυτῶν πίστιν ἐκθέμενοι αὐτοῖς ῥήμασιν τάδε ὡμολόγουν· »τὸν νόμου καὶ
προφητῶν καὶ καινῆς διαθήκης θεὸν γεννήσαντα υἱὸν μονογενῆ πρὸ χρόνων αἰωνίων,
δι᾽ οὗ καὶ τοὺς αἰῶνας καὶ τὰ πάντα πεποίηκε, γεννήσαντα δὲ οὐ δοκήσει, ἀλλὰ ἀληθείᾳ,
ὑποστήσαντα ἰδίῳ θελήματι, ἄτρεπτον καὶ ἀναλλοίωτον, κτίσμα τοῦ θεοῦ τέλειον,
ἀλλ᾽ οὐχ ὡς ἓν τῶν κτισμάτων«. εἰ δὴ οὖν τὰ παρ᾽ αὐτῶν γράμματα ἀληθεύει, πάντως
δὲ καὶ παρὰ σοὶ φέρεται, ἐν ᾧ ὁμολογοῦσι τὸν υἱὸν τοῦ θεοῦ πρὸ χρόνων αἰωνίων, δι᾽
οὗ καὶ τοὺς αἰῶνας πεποίηκεν, εἶναι ἄτρεπτον καὶ κτίσμα τοῦ θεοῦ τέλειον, ἀλλ᾽ οὐχ
3 ὡς ἓν τῶν κτισμάτων. ἡ δὲ σὴ ἐπιστολὴ κατηγορεῖ αὐτῶν ὡς ἂν λεγόντων, ὅτι ὁ υἱὸς
γέγονεν ὡς ἓν τῶν κτισμάτων. αὐτῶν τοῦτο μὴ λεγόντων, ἀλλὰ σαφῶς διορισαμένων,

5 vgl. Urk. 4 b S. 7, 19 f. 6 vgl. Urk. 6 7 ff. = Urk. 6 S. 12, 6—10 14 f. vgl. Urk. 4, S. 7, 23. Die Abweichungen vom Wortlaut der Urk. 4 kommen durch das Bemühen zustande, die Richtigkeit der Aussagen in Urk. 6 zu erweisen

Conc. Nic. II Labbé 7, 496; Mansi 13, 316 (A B C D E G Lat.)

1 ἐπιστολῇ A, ἐπὶ nachgetr. A^1 2 ἡ nachgetr. A^1 3 γράματα A, a. Rd. γράμματα A^1 4 τρανώτατα A B | περὶ — αὐτῷ > Lat. | αὐτῷ + γρηγόριος ἐπίσκοπος ἀνέγνω B 5 καὶ κατηγορεῖ A | σὰ γράμματα] συγγράμματα BE 6 εἷς] οἷς C | ἑαυτῶν] ei = αὐτῷ Lat. | γραμμάτιον D G | ὃ] ὃς A ὃν A^2 7 νόμον AC 9 γενήσαντα 2. ν von sp. Hd. A | οὐ δοκήσει: am Rand A^1, im Text οὐκησει A 10 ὑποστήσοντι B | καὶ > C 11 εἰ δὴ] ἤδη B 12 δὲ > B | καὶ + καὶ A | παρὰ] περὶ A (περὶ a. Rd. A^2) BCE 13/14 οὐχ ὡς A^1] οὐ ὡς A 14 ὡς ἂν λεγόντων — 15 αὐτῶν > B 15 γεγέγονεν A | ἓν] εἷς DG Lat. | κτισμάτων] πάντων DG Lat.

1 Similiter autem et in epistula ad sanctum Alexandrum praeceptorem magni Athanasii directa, cuius initium est:
Cum quanta sollicitudine et cum quanta cura ad has litteras venerim,
expressius blasphemans taliter ait:
Calumniantur eos litterae tuae tamquam dicentes, quia filius ex non existentibus factus
2 est sicut unus ex omnibus. at illi protulerunt ei epistulam, quam ad te fecerant, in qua
fidem suam exponentes ipsis verbis haec confitebantur: „legis videlicet ac prophetarum
et novi testamenti deum genuisse filium unigenitum ante tempora aeterna, per quem et
saecula et omnia fecit, genuisse autem eum non conjectura, sed veritate ac subiecisse propriae
voluntati inconvertibilem et incommutabilem, creaturam dei perfectam, sed non sicut unam
ex creaturis". si ergo litterae ipsorum veritatem dicunt, utique apud te fertur, in quibus
confitentur filium dei ante tempora aeterna, per quem et saecula fecit, esse inconvertibilem
3 et creaturam dei perfectam, sed non sicut unam ex creaturis. porro epistula tua calumniatur
eos tamquam dicentes, quia filius factus est sicut unum omnium. cum hoc non dixerint,
sed clare diffinierint, quia non sicut unam ex creaturis, nota ergo, si non protinus eis iterum

Conc. Nic. II (I K L M N O)

3 et] vel KLMNO | has litteras venerim Op.] haec litterae venerint codd. 4 taliter] sic M 5 calumpniantur KNO 6 epistolam MO 8/9 et omnia et saecula ~ LM 9 et > I 10 inmutabilem K 11 si ergo —13 ex creaturis > M 12 fecit et saecula fecit K 13 epistola MO | calumpniatur KNO 14 quia] quod O 15 unam] unum LMNO | eis] es O

ὅτι »οὐχ ὡς ἓν τῶν κτισμάτων«, ὅρα εἰ μὴ εὐθὺς πάλιν αὐτοῖς ἀφορμὴ δίδοται εἰς τὸ
ἐπιλαβέσθαι καὶ διαβάλλειν ὁρμᾶσθαι ὅσα καὶ θέλουσι. πάλιν αὐτοὺς ᾐτιῶ λέγοντας 4
ὅτι »ὁ ὢν τὸν μὴ ὄντα ἐγέννησε«. θαυμάζω δέ, εἰ δύναταί τις ἄλλως εἰπεῖν. εἰ γὰρ εἷς
ἐστιν ὁ ὤν, δῆλον ὅτι ἐξ αὐτοῦ γέγονε πᾶν ὅ,τι καὶ ἔστι μετ' αὐτόν· εἰ δὲ μὴ μόνος αὐτός
ἐστιν ὁ ὤν, ἀλλὰ καὶ ὁ υἱὸς ἦν ὁ ὤν, καὶ πῶς τὸν ὄντα ὁ ὢν ἐγέννησεν; οὕτως γὰρ ἂν δύο
εἴη τὰ ὄντα.

καὶ ταῦτα μὲν Εὐσέβιος πρὸς τὸν ἀοίδιμον 'Αλέξανδρον· ἀλλὰ καὶ ἕτεραι ἐπιστολαὶ αὐτοῦ πρὸς 5
τὸν αὐτὸν ἱερὸν ἄνδρα φέρονται, ἐν αἷς εὕρηνται ποικίλαι βλασφημίαι τοὺς περὶ 'Αρειον διεκδικοῦσαι.

1 f. vgl. Urk. 6, S. 12, 10   3 Vgl. Urk. 4 b S. 7, 20   4 ff. Gegen die Identität von Vater und Sohn richtet sich Euseb später mit aller Bestimmtheit in seinen beiden Schriften gegen Marcell von Ancyra, vgl. vor allem eccl. theol. II 7 (104, 3 ff.) | Vgl. Urk. 3 S. 4, 6 f.

Conc. Nic. II (A B C D E G Lat.)

1 ὅτι > B | εἰ > B | τὸ > A, nachgetr. A[1]   2 διαβαλεῖν B   3 ἄλλως εἰπεῖν a. Rd. A[2] ἀλλειπεῖν A   4 μετ' αὐτόν] cum ipso Lat.!   5 ἐγέννησεν] ἐγέννα BDG | καὶ[2] — ὢν doppelt, einmal gestr. A   6 ὄντα + ἐπιφάνιος διάκονος ἀνέγνω B   7 μὲν > B   8 ηὕρηνται B | ποικίλαι + καὶ C, doch exp.

occasio detur ad reprehendendum et detrahendum movendi quotquot voluerint. iterum 4
eos accusabas dixisse, quia qui est eum qui non erat genuit. miror autem, si possit quis aliter dicere. si enim unus est qui est, profecto ex ipso factum est omne, quia et est cum ipso. si vero non solus ipse est qui est, sed et filius erat qui est, quomodo eum qui erat is qui est gignebat? taliter enim utique duo essent qui existerent.

et haec quidem Eusebius ad memorandum Alexandrum. sed et aliae epistulae ipsius ad eundem 5
sacratum virum feruntur, in quibus inveniuntur variae blasphemiae illos, qui circa Arrium sunt, defendentes.

Conc. Nic. II (I K L M N O)

2 eos > I | accusabas eos ~ O | qui non erat eum ~ O | posset O   3 ipso[1] + secundum O | quia] quod M   4 non] cum O   6 epistole O | eundum I   7 virum sacratum ~ LMNO | efferuntur O

Urkunde 8.

Brief des Euseb von Nikomedien an Paulin von Tyrus.

(ca. 320/1)

Τῷ δεσπότῃ μου Παυλίνῳ Εὐσέβιος ἐν κυρίῳ χαίρειν.

Οὔτε ἡ τοῦ δεσπότου μου Εὐσεβίου σπουδὴ ἡ ὑπὲρ τοῦ ἀληθοῦς λόγου παρεσιω- 1
πήθη, ἀλλ' ἔφθασεν ἕως καὶ ἡμῶν, οὔτε ἡ σοῦ ἐπὶ τούτῳ σιωπή, δέσποτα. καὶ ὡς ἦν
ἀκόλουθον, ἐπὶ μὲν τῷ δεσπότῃ μου Εὐσεβίῳ ηὐφράνθημεν, ἐπὶ δὲ σοὶ λυπούμεθα, στοχα-
ζόμενοι καὶ τὴν σιωπὴν ἀνδρὸς τοιούτου ἧτταν ἡμῶν εἶναι. διὸ παρακαλῶ εἰδότα 2
σε ὡς ἀπρεπὲς ἀνδρὶ φρονίμῳ ἀλλοῖα φρονεῖν καὶ σιωπᾶν τἀληθῆ, ἀνασκαλεύσαντι τῷ πνεύματι τὸν λογισμὸν † περὶ τὸ γράφειν περὶ τούτου ἄρχου λυσιτελοῦντος καὶ σοὶ καὶ τοῖς ἀκούουσί σου, μάλισθ' ὅταν κατὰ ἀκολουθίαν τῆς γραφῆς καὶ τοῖς ἴχνεσι τῶν λόγων αὐτῆς καὶ τῶν βουλημάτων ἐθέλοις γράφειν.

1. Als Verfasser der Urkunde geben Theodoret und Candidus Euseb von Nikomedien an   2 Gemeint sind die Briefe Eusebs von Caesarea wie Urk. 3 u. 7

Theod. h. e. I 6, 1 (A n s z) Th.

6 τὰ ἀληθῆ Th.

3 Ὅτι γὰρ οὔτε δύο ἀγέννητα ἀκηκόαμεν οὔτε ἓν εἰς δύο διῃρημένον οὐδὲ σωματικόν
τι πεπονθὸς μεμαθήκαμεν ἢ πεπιστεύκαμεν, δέσποτα, ἀλλ' ἓν μὲν τὸ ἀγέννητον, ἓν δὲ
τὸ ὑπ' αὐτοῦ ἀληθῶς καὶ οὐκ ἐκ τῆς οὐσίας αὐτοῦ γεγονός, καθόλου τῆς φύσεως τῆς
ἀγεννήτου μὴ μετέχον ἢ ὂν ἐκ τῆς οὐσίας αὐτοῦ, ἀλλὰ γεγονὸς ὁλοσχερῶς ἕτερον τῇ
φύσει καὶ τῇ δυνάμει, πρὸς τελείαν ὁμοιότητα διαθέσεώς τε καὶ δυνάμεως τοῦ πεποιηκότος
γενόμενον· οὗ τὴν ἀρχὴν οὐ λόγῳ μόνον ἀδιήγητον, ἀλλὰ καὶ ἐννοίᾳ οὐκ ἀνθρώπων
μόνον, ἀλλὰ καὶ τῶν ὑπὲρ ἀνθρώπους πάντων εἶναι ἀκατάληπτον πεπιστεύκαμεν.
4 Καὶ ταῦτα οὐχὶ λογισμοὺς ἑαυτῶν ὑποθέμενοι, ἀλλ' ἀπὸ τῆς ἁγίας γραφῆς μεμα-
θηκότες λέγομεν· κτιστὸν εἶναι καὶ θεμελιωτὸν καὶ γεννητὸν τῇ οὐσίᾳ καὶ τῇ ἀναλλοιώτῳ
καὶ ἀρρήτῳ φύσει καὶ ὁμοιότητι τῇ πρὸς τὸν πεποιηκότα μεμαθήκαμεν, ὡς αὐτὸς ὁ κύριός
φησιν· »ὁ θεὸς ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, καὶ πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με· πρὸ
5 δὲ πάντων βουνῶν γεννᾷ με«. εἰ δὲ ἐξ αὐτοῦ, τουτέστιν ἀπ' αὐτοῦ ἦν ὡς ἂν μέρος
αὐτοῦ ἢ ἐξ ἀπορροίας τῆς οὐσίας, οὐκ ἂν ἔτι κτιστὸν οὐδὲ θεμελιωτὸν εἶναι ἐλέγετο·
οὐδὲ αὐτὸς ἀγνοεῖς, κύριε, ἀληθῶς. τὸ γὰρ ἐκ τοῦ ἀγεννήτου ὑπάρχον κτιστὸν ἔτι ὑφ'
6 ἑτέρου ἢ ὑπ' αὐτοῦ ἢ θεμελιωτὸν οὐκ ἂν εἴη, ἐξ ἀρχῆς ἀγέννητον ὑπάρχον. εἰ δὲ τὸ
γεννητὸν αὐτὸν λέγεσθαι ὑπόβασίν τινα παρέχει, ὡς ἂν ἐκ τῆς οὐσίας τῆς πατρικῆς αὐτὸν
γεγονότα καὶ ἔχειν ἐκ τούτου τὴν ταυτότητα τῆς φύσεως, γιγνώσκομεν ὡς οὐ περὶ αὐτοῦ
μόνου τὸ γεννητὸν εἶναί φησιν ἡ γραφή, ἀλλὰ καὶ ἐπὶ τῶν ἀνομοίων αὐτῷ κατὰ πάντα

---

1 vgl. Urk. 14 S. 26, 23 f. 1/2 In den Marcellfragmenten bei Euseb c. Marc. I 4, 10 (19, 15) spielt Asterius auf die Worte: σωματικόν τι πεπονθός an: τὸ κεφάλαιον εἶναι τῆς ἐπιστολῆς ... καὶ μὴ πάθος ἀποφῆναι τοῦ θεοῦ τὴν γονήν 11/12 Prov. 8, 22—23. 25

Theod. (A n s z) Th. Cand.

---

1 ἀγένητα Th. | ἀκηκόαμεν + πώποτε Th. | οὐδὲ] οὔτε Th. 3/4 τῆς ἀγεννήτου φύσεως ~ Th. 5 τῇ > Th. 8 ὑποτιθέμενοι Gz Th. 9 κτιστὸν + γὰρ enim Cand. | γενητὸν NDLV factum Cand. | τῇ > Th. 11 αὐτοῦ + εἰς ἔργα αὐτοῦ Th. vgl. Prov. 11/12 πρὸ δὲ] et ante Cand. = καὶ πρὸ 16 ὑπόβασιν] ὑπόφασιν Theod. (AnGz) πρόφασιν S subsistentiam = ὑπόστασιν? Cand. 17 γεγονότα] fuisse Cand.

Haec Arrius dicit, et de his Eusebius iuxta istum modum talia ad Paulinum:

Cand. 3 Quoniam enim neque duo ingenita audivimus, neque unum in duo divisum neque
Migne L. 8, 1038 corporale aliquid, quod patiatur, didicimus aut credidimus domine, sed unum quidem
ingenitum, unum autem quod ab ipso vere et non ex eius substantia factum universale naturae
eius, quae sit ingenita, neque participans vel ὂν ex eius substantia, sed factum omnino alterum
natura et potentia ad perfectam similitudinem et affectionis et potentiae eius qui efficit
quod factum est cuius principium non solum sermone inenarrabili sed et excogitatione nec
hominum solum sed et eorum qui super homines omnium esse inconprehensibile credidimus.
4 et haec non colligimus nobis substituentes, sed a sancta scriptura didicimus; dicimus:
conditum enim esse et fundatum et factum substantia et inmutabili et ineffabili natura et
similitudine ea quae sit ad facientem didicimus sicut ipse dominus dicit: deus condidit me
principium viarum suarum et ante aeonem fundavit me et ante omnes colles genuit
5 me. si autem ex ipso, hoc est ab ipso erat, sicuti pars eius aut ex effluentia substantiae,
non conditum iam neque fundatum esse dictum nec tu ignoras, domine, vere. id enim,
quod ab ingenito exsistens est, conditum amplius ab altero vel a se ipso aut fundatum non
6 fuisset, a principio ingenitum quod fuisset. si autem natum illum dicere subsistentiam
quandam prestare est, veluti ex substantia paterna ipsum fuisse et habere ex ipso. identi-
tatem naturae cognoscimus quod non de ipso solo natum esse dixerit scriptura, sed et in

---

9 nolligimus Ms., von sp. Hd. corr. non colligimus 10 enim cond. ~ sp. Hd. Ms.

τῇ φύσει. καὶ γὰρ καὶ ἐπ' ἀνθρώπων φησίν· »υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέ- 7
τησαν«, καὶ »θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες«, καὶ ἐν ἑτέροις »τίς«, φησί, »ὁ τετοκὼς
βώλους δρόσου«; οὐ τὴν φύσιν ἐκ τῆς φύσεως διηγούμενος, ἀλλὰ τὴν ἐφ' ἑκάστῳ τῶν
γενομένων ἐκ τοῦ βουλήματος αὐτοῦ γένεσιν. οὐδὲν γάρ ἐστιν ἐκ τῆς οὐσίας αὐτοῦ,
πάντα δὲ βουλήματι αὐτοῦ γενόμενα ἕκαστον, ὡς καὶ ἐγένετο, ἐστίν. ὁ μὲν γὰρ θεός, 8
τὰ δὲ πρὸς ὁμοιότητα αὐτοῦ λόγῳ ὅμοια ἐσόμενα, τὰ δὲ καθ' ἑκουσιασμὸν γενόμενα·
τὰ δὲ πάντα δι' αὐτοῦ ὑπὸ τοῦ θεοῦ γενόμενα, πάντα δὲ ἐκ τοῦ θεοῦ. ἅπερ λαβὼν καὶ
ἐξεργασάμενος κατὰ τὴν προσοῦσάν σοι θεόθεν χάριν, γράψαι τῷ δεσπότῃ μου Ἀλεξάν-
δρῳ σπούδασον· πεπίστευκα γὰρ ὡς εἰ γράψειας αὐτῷ, ἐντρέψειας αὐτόν. πρόσειπε
πάντας τοὺς ἐν κυρίῳ. ἐρρωμένον σε καὶ ὑπὲρ ἡμῶν εὐχόμενον ἡ θεία χάρις διαφυλάττοι,
δέσποτα.

1/2 Jes. 1,2 2 Dt. 32, 18 2/3 Hiob 38, 28 4 ff. Asterius in den Marcellfragmenten bei Eus. c. Marc. I 4, 10 (19, 11): τὸ κεφάλαιον εἶναι τῆς ἐπιστολῆς ἐπὶ τὴν βουλὴν τοῦ πατρὸς ἀνενεγκεῖν τοῦ υἱοῦ τὴν γένεσιν. Vgl. Arius bei Athan. de syn. 15 (I 728 E): ἡ σοφία σοφία ὑπῆρξε σοφοῦ θεοῦ θελήσει; und ebenda (I 728 F/729 A): θεοῦ θελήσει ὁ υἱὸς ἡλίκος καὶ ὅσος ἐστὶν ἐξ ὅτε καὶ ἀφ' οὗ καὶ ἀπὸ τότε ἐκ τοῦ θεοῦ ὑπέστη, ἰσχυρὸς θεὸς ὤν, τὸν κρείττονα ἐκ μέρους ὑμνεῖ; und ebenda (I 729 A): υἱὸς γὰρ ὢν θελήσει πατρὸς ὑπῆρξεν ἀληθῶς. Athan. Or. III c. Arian. 66. 67 (I 615 ff.); Justin Dial. c. Tryph. 128, 4; Const. Ap. VIII 12, 14

Theod. (A n s z) Th. Cand.

2 ἐγκατέλειπες NG Th. 5 ἕκαστα Th. 6 καθ' ἑκουσιασμὸν] iuxta participationem substantiae Cand. 9 γράψεις LV Th. | ἐντρέψεις Th. 10 τοὺς > H Th. | θεία χάρις] χάρις τοῦ θεοῦ Th.

dissimilibus ipsi in omnibus naturaliter. et enim et in hominibus dicit: filios genui et 7 Cand.
exaltavi, ipsi autem me respuerunt, et deum, qui te genuit, dereliquisti, et alibi, quis, inquit,
est qui peperit glebas roris. non naturam ex natura exponens, sed naturam unicuique eorum,
quae generata sunt, ex eius voluntate generationem. nihil est enim de substantia eius, cuncta
autem voluntate eius facta unumquidque, ut et effectum est. et ille quidem deus, quaedam 8
autem ad similitudinem eius per ipsum λόγῳ similia futura, quaedam autem iuxta participa-
tionem substantiae facta. omnia autem per ipsum a deo facta, omnia autem ex deo. quae
accipiens et adstruens secundum, quae adest tibi, divinitus gratiam scribere domino meo
Alexandro cura. credidi enim quia si scripseris ipsi pudorem illi facias. saluta omnes qui
sunt in domino. salvum te et pro nobis orantem divina gratia custodiat, domine.

6 λόγων Ms. (ν sp. Hd.), andere Hd. am Rd.: verbo 8 gratiam nach secundum corr. sp. Hd.

Urkunde 9.

Brief des Paulin von Tyrus.

(Fragmente)

(ca. 320/1)

1. Οὐκ εὐαγγελικῆς ὑπομιμνήσκων διδασκαλίας ταῦτ' ἔγραψεν Παυλῖνος, ὁμολογῶν δὲ ἐνίους μὲν 1
ἀφ' ἑαυτῶν οὕτω κινεῖσθαι, ἐνίους δὲ ἐκ τῶν ἀναγνωσμάτων τῶν προειρημένων
ἀνδρῶν τοῦτον ἦχθαι τὸν τρόπον. Εἶτα τέλος, ὥσπερ τινὰ κορωνίδα τῆς ἀποδείξεως ἐπάγων
ἐκ τῶν Ὠριγένους ῥητῶν τῇ ἑαυτοῦ ὑπέγραψεν ἐπιστολῇ, ὡς μᾶλλον πεῖσαι δυναμένου παρὰ τοὺς
εὐαγγελιστὰς καὶ τοὺς ἀποστόλους. ἔστι δὲ τὰ ῥητὰ ταῦτα·
"Ὥρα ἐπαναλαβόντα περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ὀλίγα τῶν τότε
παραλελειμμένων διεξελθεῖν. περὶ πατρὸς ὡς ἀδιαίρετος ὢν καὶ ἀμέριστος υἱοῦ γίγνεται

1—p. 18, 3 Euseb. c. Marc. I 4, 18—20 (21, 9—22)

1 ff. Marcellfrgm. 6—S. 18, 3 Origenes de princ. IV 4, 1 (348, 5 ff.) 7—S. 18, 1 Diese Worte sollen gegen Alexander zeugen, vgl. Arius in Urk. 6 S. 12, 10 ff.

πατήρ, οὐ προβαλὼν αὐτόν, ὡς οἴονταί τινες. εἰ γὰρ πρόβλημά ἐστιν ὁ υἱὸς τοῦ πατρὸς καὶ γέννημα ἐξ αὐτοῦ, ὁποῖα τὰ τῶν ζῴων γεννήματα, ἀνάγκη σῶμα εἶναι τὸν προβαλόντα καὶ τὸν προβεβλημένον.

2 2. τούτοις δὲ τοῖς ῥητοῖς καὶ ὁ τούτου πατὴρ πειθόμενος Παυλῖνος ταὐτὰ λέγειν τε καὶ γράφειν οὐκ ὀκνεῖ, ποτὲ μὲν δεύτερον θεὸν λέγων τὸν Χριστὸν καὶ τοῦτον ἀνθρωπικώτερον γεγενῆσθαι θεόν, ποτὲ δὲ κτίσμα αὐτὸν εἶναι διοριζόμενος.

3 3. ἔπειτα διαβάλλει τὸν μακάριον ὡς θεοὺς πολλοὺς εἰρηκότα.

4 4. ὅθεν τοίνυν μαθὼν καὶ ὁ Ἀστερίου πατὴρ Παυλῖνος νεωτέρους θεοὺς εἶναι ᾤετο.

4—6 Euseb. c. Marc. I 4, 49 (28, 7—11) 7 Euseb. c. Marc. I 4,50 (28, 13—14) 8 Euseb. c. Marc. I 4,51 (28, 19—20)

4 ff. Marcellfrgm. | τούτου sc. Ἀστερίου 7 διαβάλλει sc. Μάρκελλος. 8 Marcellfrgm.

Urkunde 10.

Regest des Synodalschreibens der Synode in Palästina.

(ca. 321/2)

Ὡς δὲ οὐδὲν ἧττον παρὰ γνώμην αὐτοῖς ἐχώρει ἡ σπουδή, Ἀλεξάνδρου μὴ εἴκοντος, πρεσβεύεται ὁ Ἄρειος πρὸς Παυλῖνον τὸν Τύρου ἐπίσκοπον καὶ Εὐσέβιον τὸν Παμφίλου ἐπιτροπεύοντα τὴν ἐκκλησίαν τῆς ἐν Παλαιστίνῃ Καισαρείας καὶ Πατρόφιλον τὸν Σκυθοπόλεως· καὶ ἐξαιτεῖ ἅμα τοῖς ἀμφ' αὐτοῦ ἐπιτραπῆναι ἐκκλησιάζειν τὸν μετ' αὐτοῦ λαόν, ὡς πρότερον τὴν τῶν πρεσβυτέρων τάξιν ἐπέχοντας. εἶναι γὰρ ἔθος ἐν Ἀλεξανδρείᾳ (καθάπερ καὶ νῦν), ἑνὸς ὄντος τοῦ κατὰ πάντων ἐπισκόπου τοὺς πρεσβυτέρους ἰδίᾳ τὰς ἐκκλησίας κατέχειν καὶ τὸν ἐν αὐταῖς λαὸν συνάγειν. οἱ δὲ καὶ ἄλλοις ἐπισκόποις ἐν Παλαιστίνῃ συνελθόντες ἐψηφίσαντο τῇ Ἀρείου αἰτήσει παρακελευσάμενοι·

Συνάγειν μὲν αὐτοὺς ὡς πρότερον, ὑποτετάχθαι δὲ Ἀλεξάνδρῳ καὶ ἀντιβολεῖν ἀεὶ τῆς πρὸς αὐτὸν εἰρήνης καὶ κοινωνίας μετέχειν.

Soz. I 15, 11 (A B² K) Th.

2 ὁ > Th. 3 τῆς ἐκκλησίας Soz. (K) | τὸν + ἐπίσκοπον Th. 4 ἀμφ' αὐτὸν Th. | αὐτοῦ] αὐτῶν Soz. (A K) αὐτὸν Soz. (B²) 5/6 ἐν Ἀλεξανδρείᾳ ἔθος ~ Soz. (B²) 7 αὐτοῖς Soz. | δὲ + ἅμα Th. 8 ἐπεψηφίσαντο Th. | παρακελευσάμενος Th. 9 ὡς + τὸ Soz. (B²)

Urkunde 11.

Brief des Athanasius von Anazarbos an Alexander von Alexandrien.

(ca. 322)

Γράφων γὰρ πρὸς Ἀλέξανδρον τὸν ἐπίσκοπον ἀπετόλμησεν οὕτως εἰπεῖν·

1 Τί μέμφῃ τοῖς περὶ Ἄρειον, εἰ λέγουσιν, ἐξ οὐκ ὄντων κτίσμα πεποίηται ὁ υἱὸς τοῦ θεοῦ καὶ ἓν τῶν πάντων ἐστίν; ἐν ἑκατὸν γὰρ προβάτοις παραβαλλομένων πάντων
2 τῶν πεποιημένων εἷς ἐστι καὶ ὁ υἱὸς ἐξ αὐτῶν. εἰ μὲν οὖν τὰ ἑκατὸν οὐκ ἔστι κτίσματα καὶ γενητὰ ἢ ἔνι πλέον τι τῶν ἑκατόν, δηλονότι μηδὲ ὁ υἱὸς ἔστω κτίσμα καὶ εἷς τῶν πάντων. εἰ δὲ τὰ ἑκατὸν πάντα γενητὰ καὶ οὐδέν ἐστιν ἐκτὸς τῶν ἑκατὸν πλὴν μόνου τοῦ θεοῦ, τί ἄτοπον λέγουσιν οἱ περὶ Ἄρειον, εἰ ἓν ἐν τοῖς ἑκατὸν περιλαβόντες καὶ ἀριθμοῦντες τὸν Χριστόν, ἕνα τῶν πάντων αὐτὸν εἰρήκασιν;

Ath. de synodis 17 (BKOP R)

Dieser Brief bezieht sich vielleicht auf Urk. 4 b 2/3 vgl. Urk. 1, S. 3, 5; Urk. 4 b, S. 7, 21 3 Vgl. Lc. 15, 4. Gegen diese Argumentation wendet sich Athan. de syn. 36 (I 752 B), da sie nicht schriftgemäß sei

Urkunde 12.

Brief des Presbyters Georgius an Alexander von Alexandrien.

(ca. 322)

Γεώργιος δὲ ὁ νῦν ἐν Λαοδικείᾳ, πρεσβύτερος ὢν τότε τῆς Ἀλεξανδρείας καὶ ἐν Ἀντιοχείᾳ διατρίβων, πρὸς μὲν Ἀλέξανδρον τὸν ἐπίσκοπον ἔγραφεν ὅτι

Μὴ μέμφου τοῖς περὶ Ἄρειον, εἰ λέγουσιν, ἦν ποτε ὅτε οὐκ ἦν ὁ υἱὸς τοῦ θεοῦ· καὶ γὰρ Ἡσαΐας υἱὸς γέγονεν Ἀμώς, καὶ ὅμως ὁ μὲν Ἀμὼς ἦν πρὸ τοῦ γενέσθαι τὸν Ἡσαΐαν, ὁ δὲ Ἡσαΐας οὐκ ἦν πρότερον, ἀλλὰ μετὰ ταῦτα γέγονε.

Ath. de synodis 17 (BKOP R)

4 ff. vgl. Jes. 1, 1.

Urkunde 13.

Brief des Presbyters Georgius an die Arianer in Alexandrien.

(ca. 322)

Πρὸς δὲ τοὺς Ἀρειανοὺς ἔγραφε·

Τί μέμφεσθε Ἀλεξάνδρῳ τῷ πάπᾳ λέγοντι ἐκ τοῦ πατρὸς τὸν υἱόν; καὶ γὰρ καὶ ὑμεῖς μὴ φοβηθῆτε εἰπεῖν καὶ ἐκ τοῦ θεοῦ τὸν υἱόν. εἰ γὰρ ὁ ἀπόστολος ἔγραψε »τὰ δὲ πάντα ἐκ τοῦ θεοῦ« καὶ ἔστι δῆλον ἐξ οὐκ ὄντων πεποιῆσθαι τὰ πάντα, ἔστι δὲ καὶ ὁ υἱὸς κτίσμα καὶ τῶν πεποιημένων εἷς. λεχθείη ἂν καὶ ὁ υἱὸς ἐκ τοῦ θεοῦ οὕτως ὥσπερ καὶ τὰ πάντα λέγεται ἐκ τοῦ θεοῦ.

Ath. de synodis 17 (BKOP R)

3 ff. vgl. I. Kor. 11,12

Urkunde 14.

Brief Alexanders von Alexandrien an Alexander von Thessalonich.

(324)

Τῷ τιμιωτάτῳ ἀδελφῷ καὶ ὁμοψύχῳ Ἀλεξάνδρῳ Ἀλέξανδρος ἐν κυρίῳ χαίρειν.

Ἡ φίλαρχος τῶν μοχθηρῶν ἀνθρώπων καὶ φιλάργυρος πρόθεσις ταῖς δοκούσαις 1
ἀεὶ μείζοσι παροικίαις πέφυκεν ἐπιβουλεύειν διὰ ποικίλων προφάσεων τῶν τοιούτων ἐπιτιθεμένων τῇ ἐκκλησιαστικῇ εὐσεβείᾳ. οἰστρηλατούμενοι γὰρ ὑπὸ τοῦ ἐνεργοῦντος ἐν αὐτοῖς διαβόλου εἰς τὴν προκειμένην αὐτοῖς ἡδονὴν πάσης εὐλαβείας ἀποσκιρτήσαντες,
πατοῦσι τὸν τῆς κρίσεως τοῦ θεοῦ φόβον. περὶ ὧν ἀναγκαῖον ἦν μοι τῷ πάσχοντι 2
δηλῶσαι τῇ ὑμετέρᾳ εὐλαβείᾳ, ἵνα φυλάττησθε τοὺς τοιούτους μή τις αὐτῶν τολμήσῃ καὶ ταῖς ὑμετέραις παροικίαις ἐπιβῆναι, ἤτοι δι' ἑαυτῶν (ἱκανοὶ γὰρ ὑποκρίνασθαι πρὸς ἀπάτην οἱ γόητες) ἢ διὰ γραμμάτων ψευδῶς κεκομψευμένων δυναμένων ὑφαρπάσαι τὸν ἁπλῇ πίστει καὶ ἀκεραίῳ προσεσχηκότα.
Ἄρειος γοῦν καὶ Ἀχιλλεὺς συνωμοσίαν ἔναγχος ποιησάμενοι τὴν Κολλούθου 3

Zur Überschrift: Theod. will Alexander v. Byzanz; dieser war aber noch nicht Bischof 6—10 Alexander wird bedrängt, Arius sucht in fremde Gemeinden einzudringen (vgl. S. 20, 20) und sich einzuschmeicheln (vgl. S. 20,21) und den einfältigen, richtigen Glauben zu zerstören 8 Die „Ihr"-Anrede kehrt immer wieder: 21, 7; 28, 21; 29, 3. 13. 18. 21 und zeigt, daß die Urkunde ein Zirkularschreiben, ein Tomos ist 11 Arius und Achillas werden noch S. 25, 15; 28, 25 als die Aufrührer genannt. Wichtig ist das Zeugnis des Didymus (mit Holl) in seiner Schrift adversus Arium et Sabellium (Mai, Nov. patr. bibl. t. IV. S. 1); dort werden ebenfalls auch Arius und Achillas zusammen als Anführer der Häresie bezeichnet. Das Schisma ist Z. 11 f. vollzogene Tatsache, wenn hier die Aktion des Arius neben die des Kolluthus gestellt wird, von dem ja gerade gesagt wird, er sei herrschsüchtig, d. h. er habe sich zum Gegenbischof gemacht.

Theod. h. e. I 4, 1 (A n s z) Th.

3 ποικίλης προφάσεως sz Th. 4/5 ἐν αὐτοῖς] εἰς αὐτοὺς Th. 6 τῷ πάσχοντι] μετασχόντι n 8 ὑποκρίνεσθαι Th. 9 ἀφαρπάσαι n Th. 11 γοῦν] γὰρ Th. | Ἀχιλλᾶς nV Th.

φιλαρχίαν πολὺ χεῖρον ἢ ἐκεῖνος ἐζήλωσαν. ὁ μὲν γὰρ αὐτοῖς τούτοις ἐγκαλῶν τῆς
ἑαυτοῦ μοχθηρᾶς προαιρέσεως εὗρε πρόφασιν· οἱ δὲ τὴν ἐκείνου χριστεμπορίαν θεω-
ροῦντες οὐκ ἔτι τῆς ἐκκλησίας ὑποχείριοι μένειν ἐκαρτέρησαν, ἀλλ' ἑαυτοῖς σπήλαια
λῃστῶν οἰκοδομήσαντες ἀδιαλείπτους ἐν αὐτοῖς ποιοῦνται συνόδους, νύκτωρ τε καὶ
4 μεθ' ἡμέραν ἐν ταῖς κατὰ Χριστοῦ καὶ ἡμῶν διαβολαῖς ἀσκούμενοι. οἱ πάσης τῆς
εὐσεβοῦς ἀποστολικῆς δόξης κατηγοροῦντες Ἰουδαϊκῷ προσχήματι χριστομάχον
συνεκρότησαν ἐργαστήριον, τὴν θεότητα τοῦ σωτῆρος ἡμῶν ἀρνούμενοι καὶ τοῖς πᾶσιν
ἴσον εἶναι κηρύττοντες, πᾶσάν τε αὐτοῦ τῆς σωτηρίου οἰκονομίας καὶ δι' ἡμᾶς ταπει-
νώσεως φωνὴν ἐκλεξάμενοι ἐξ αὐτῶν συναγείρειν πειρῶνται τῆς ἀσεβείας ἑαυτῶν τὸ
κήρυγμα, τῆς ἀρχῆθεν θεότητος αὐτοῦ καὶ παρὰ τῷ πατρὶ δόξης ἀλέκτου τοὺς λόγους
5 ἀποστρεφόμενοι. τὴν γοῦν Ἑλλήνων τε καὶ Ἰουδαίων ἀσεβῆ περὶ Χριστοῦ δόξαν
κρατύνοντες, τὸν παρ' αὐτοῖς ἔπαινον ὡς ἔνι μάλιστα θηρῶνται, πάντα μὲν ὅσα καθ'
ἡμῶν παρ' αὐτοῖς γελᾶται πραγματευόμενοι, στάσεις δὲ ἡμῖν καθ' ἡμέραν καὶ διωγμοὺς
ἐπεγείροντες· καὶ τοῦτο μὲν δικαστήρια συγκροτοῦντες δι' ἐντυχίας γυναικαρίων ἀτάκτων,
ἃ ἠπάτησαν, τοῦτο δὲ τὸν χριστιανισμὸν διασύροντες ἐκ τοῦ περιτροχάζειν πᾶσαν ἀγυιὰν
ἀσέμνως τὰς παρ' αὐτοῖς νεωτέρας. ἀλλὰ καὶ τὸν ἄρρηκτον τοῦ Χριστοῦ χιτῶνα, ὃν οἱ
6 δήμιοι διελεῖν οὐκ ἐβουλεύσαντο, αὐτοὶ σχίσαι ἐτόλμησαν. ἡμεῖς μὲν οὖν, ἃ καὶ τῷ βίῳ
αὐτῶν καὶ τῇ ἀνοσίῳ ἐπιχειρήσει πρέπει, διὰ τὸ λανθάνειν βραδέως ἐπιστήσαντες, παμ-
ψηφὶ τῆς προσκυνούσης Χριστοῦ τὴν θεότητα ἐκκλησίας ⟨αὐτοὺς⟩ ἐξηλάσαμεν.
7 Ἐπεχείρησαν δὲ περιδρομαῖς χρώμενοι καθ' ἡμῶν παρεκβαίνειν πρὸς τοὺς ὁμόφρονας
συλλειτουργούς, σχήματι μὲν εἰρήνης καὶ ἑνώσεως ἀξίωσιν ὑποκρινόμενοι, τὸ δ' ἀληθὲς
συναρπάσαι τινὰς αὐτῶν εἰς τὴν ἰδίαν νόσον διὰ χρηστολογίας σπουδάζοντες καὶ
στωμυλώτερα γράμματα παρ' αὐτῶν αἰτοῦντες, ἵνα παραναγιγνώσκοντες αὐτὰ τοῖς
ὑπ' αὐτῶν ἠπατημένοις ἀμετανοήτους ἐφ' οἷς ἐσφάλησαν κατασκευάσωσιν, ἐπιτριβο-
8 μένους εἰς ἀσέβειαν, ὡς ἂν συμψήφους αὐτοῖς καὶ ὁμόφρονας ἔχοντες ἐπισκόπους. οὐχ
ἅπερ γοῦν παρ' ἡμῖν πονηρῶς ἐδίδαξάν τε καὶ διεπράξαντο ὁμολογοῦσιν αὐτοῖς, δι' ἃ
καὶ ἐξώσθησαν· ἀλλ' ἢ σιωπῇ ταῦτα παραδιδόασιν, ἢ πεπλασμένοις λόγοις καὶ ἐγγράφοις

---

2 zu χριστεμπορίαν vgl. Didache 12, 5   3/4 zu σπήλαια λῃστῶν vgl. Mt. 21, 13   6 u. 11 Der Vorwurf des Judaismus wurde auch gegen Paul von Samosata erhoben S. 25,10 f. und vgl. F. Loofs, Paulus von Samosata (TU 44, 5) S. 18; 62 Anm. 3   6 Vgl. zu χριστομάχος Urk. 4b S. 7, 8; 9, 15   8/9 zu ταπεινώσεως φωνὴν vgl. Phil. 2, 8   13 zum Spott der Heiden vgl. Euseb VC II 61, 5 (66,14)   13/14 zu διωγμοὺς ἐπεγείροντες vgl. Act. 13, 50   14 Nach Epiphanius haer. 69, 3, 2 (III 154, 17) sammelte Arius gegen 700 Jungfrauen um sich, vgl. hier S. 29, 7. Mit S. 29, 7, wo II. Tim. 3, 6 ausdrücklich zitiert ist, hat γυναικάρια in dieser Bibelstelle seinen Ursprung. Auch Paul von Samosata wurde beschuldigt, allzu reichlichen Verkehr mit Weibern gepflogen zu haben, s. Euseb H. E. VII 30, 10. 12 (710, 12. 23)   16 Vgl. zu ἄρρηκτος χιτών Jh. 19, 23—24. Auf die Kirche wird dieses Bild übertragen schon bei Tertullian adv. Marc. IV 42 (CSEL 47, 563, 23 ff.) und Cyprian de cath. eccl. unitate 7 (CSEL 3, 2, 215, 11 ff.). In dem Martyrium des Petrus (Viteau, Passions des Saints Écaterine et Pierre d'Alexandrie, Barbara et Anysia, Paris 1897, S. 71) erscheint dem Bischof Petrus während des Gebetes ein Knabe von etwa 12 Jahren, bekleidet mit einem Gewande, das in zwei Stücke gerissen ist. Petrus fragt ihn: Κύριος τίς σου περιέσχισεν τὸν χιτῶνα; Der Knabe antwortet: Ἄρειος περιέσχισέν με   18 Zu dem längeren Schweigen siehe Urk. 4b S. 7, 2   20 ff. Vgl. S. 29, 5 und Epiph. haer. 69, 4, 1 (III 155, 22)

Theod. (A n s z) Th.

---

2 προαιρέσεως] προθέσεως An   8 κηρύσσοντες NsDF Th.   9 ἑαυτῶν] αὐτῶν sz Th.   13 παρ' αὐτοῖς καθ' ἡμῶν ~ Th. | γελᾶσθαι Th.   16 ἀσέμνως > Th.   17 ἃ > Th.   18 πρέπει > Th.   19 τῆς — ἐξηλάσαμεν] τῆς προσκυνήσεως χῦ τὴν θεότητα σμικρύνοντας τῆς ἐκκλησίας ἐξηλάσαμεν sF vgl. Cod. V | ⟨αὐτούς⟩ Op. nach Vorschlag von Parm., θεότητα + αὐτοὺς Theod. (D) eos expulimus Cass. | ἐξηλάσαμεν ἐκκλησίας Th.   24 κατασκευάζωσιν Th.   25 ἂν > sz Th.   26 πονηρῶς] κακῶς Th. | τε > sz Th.

ἐπισκιάζοντες ἀπατῶσιν. πιθανωτέραις γοῦν καὶ βωμολόχοις ὁμιλίαις τὴν φθοροποιὸν 9
ἑαυτῶν διδασκαλίαν ἐπικρύπτοντες συναρπάζουσι τὸν εἰς ἀπάτην ἐγκείμενον, οὐκ ἀπ-
εχόμενοι καὶ τοῦ παρὰ πᾶσι συκοφαντεῖν τὴν ἡμετέραν εὐσέβειαν· ὅθεν καὶ συμβαίνει τινὰς
τοῖς γράμμασιν αὐτῶν ὑπογράφοντας εἰς ἐκκλησίαν εἰσδέχεσθαι, μεγίστης ὡς οἶμαι δια-
βολῆς ἐπικειμένης τοῖς τοῦτο τολμῶσι συλλειτουργοῖς τῷ μήτε τὸν ἀποστολικὸν κανόνα
τοῦτο συγχωρεῖν ἀλλὰ καὶ ὑπεκκαίειν τὴν ἐπ' αὐτοῖς διαβολικὴν κατὰ Χριστοῦ ἐνέργειαν.
Δι' ἃ δὴ καὶ οὐδὲν μελλήσας, ἀγαπητοί, δηλῶσαι ὑμῖν τὴν τῶν τοιούτων ἀπιστίαν 10
ἐμαυτὸν διανέστησα, λεγόντων ὅτι ἦν ποτε ὅτε οὐκ ἦν ὁ υἱὸς τοῦ θεοῦ, καὶ γέγονεν ὕστερον
ὁ πρότερον μὴ ὑπάρχων, τοιοῦτος γενόμενος ὅτε καί ποτε γέγονεν, οἷος καὶ πᾶς πέφυκεν
ἄνθρωπος. »πάντα γάρ«, φασίν, »ὁ θεὸς ἐξ οὐκ ὄντων ἐποίησε«, συναναλαμβάνοντες 11
τῇ τῶν ἁπάντων λογικῶν τε καὶ ἀλόγων κτίσει καὶ τὸν υἱὸν τοῦ θεοῦ. οἷς ἀκολούθως
καί φασιν αὐτὸν τρεπτῆς εἶναι φύσεως, ἀρετῆς τε καὶ κακίας ἐπιδεκτικόν, καὶ τῇ ἐξ οὐκ
ὄντων ὑποθέσει καὶ τὰς θείας τοῦ εἶναι αὐτὸν ἀεὶ συναναιροῦντες γραφάς, αἳ τὸ ἄτρεπτον
τοῦ λόγου καὶ τὴν θεότητα τῆς σοφίας τοῦ λόγου σημαίνουσιν, ἅ ἐστιν ὁ Χριστός.
»δυνάμεθα γοῦν καὶ ἡμεῖς«, φασὶν οἱ ἀλάστορες, »υἱοὶ γενέσθαι θεοῦ, ὥσπερ κἀκεῖνος«.
γέγραπται γάρ· »υἱοὺς ἐγέννησα καὶ ὕψωσα«. ἐπιφερομένου δὲ αὐτοῖς τοῦ λέγοντος 12
ἑξῆς ῥητοῦ »αὐτοὶ δέ με ἠθέτησαν«, ὅπερ οὐ φυσικόν ἐστι τῷ σωτῆρι ὄντι φύσεως ἀτρέπτου,
πάσης εὐλαβείας ἑαυτοὺς ἐρημώσαντες, τοῦτό φασι προγνώσει καὶ προθεωρίᾳ περὶ αὐτοῦ
εἰδότα τὸν θεὸν ὅτι οὐκ ἀθετήσει ἐξειλέχθαι αὐτὸν ἀπὸ πάντων. οὐ γὰρ φύσει καὶ 13
κατ' ἐξαίρετον τῶν ἄλλων υἱῶν ἔχοντά τι (οὔτε γὰρ φύσει υἱός τίς ἐστι τοῦ θεοῦ, φασίν,
οὔτε τινὰ ἔχων ἰδιότητα πρὸς αὐτόν), ἀλλὰ καὶ αὐτὸν τρεπτῆς τυγχάνοντα φύσεως,
διὰ τρόπων ἐπιμέλειαν καὶ ἄσκησιν μὴ τρεπόμενον ἐπὶ τὸ χεῖρον, ἐξελέξατο· ὡς εἰ καὶ 14
Παῦλος τοῦτο βιάσαιτο καὶ Πέτρος, μηδὲν διαφέρειν τούτων τὴν ἐκείνου υἱότητα· εἰς
παράστασιν δὲ τῆς φρενοβλαβοῦς ταύτης διδασκαλίας καὶ ταῖς γραφαῖς ἐμπαροινοῦντες

3 Zur Verleumdung der Rechtgläubigkeit Alexanders vgl. Urk. 6 S. 13, 2 4f. Zur Aufnahme in die Kirchengemeinschaft vgl. den Beschluß der palästinensischen Synode Urk. 10 5 Einen früheren Synodalbeschluß gegen die Aufnahme des Exkommunizierten durch einen anderen Bischof als den, der ihn aus der Kirchengemeinschaft ausgeschlossen hat, finde ich nur in Canon 53 der Synode von Elvira. Im Hinblick auf Arius verbietet Can. 5 von Nicäa die Wiederaufnahme eines Exkommunizierten durch einen anderen Bischof 8 Im Gegensatz zu Urk. 4 b S. 7, 19ff. liegt im folgenden ein ganz summarisches Referat über die Theologie des Arius vor, das später in der Widerlegung der arianischen Theologie und im Glaubensbekenntnis ergänzt wird | Vgl. Arius bei Athanasius Ep. ad episc. Lib. et Aeg. 12 (I 281 D): καὶ πάντων οὐκ ὄντων πρότερον ἀλλ' ἐπιγενομένων καὶ αὐτὸς ὁ τοῦ θεοῦ λόγος ἦν ποτε ὅτε οὐκ ἦν. Athan. Or. I. c. Arian. 5 (I 409 A/B): ἀλλ' ἦν ὅτε ὁ θεὸς μόνος ἦν καὶ οὔπω πατὴρ ἦν, ὕστερον δὲ ἐπιγέγονε πατήρ 10 Vgl. Arius bei Athan. Or. I. c. Arian. 5 (I 409 B): πάντων γὰρ γενομένων ἐξ οὐκ ὄντων καὶ πάντων ὄντων κτισμάτων καὶ ποιημάτων γενομένων καὶ αὐτὸς ὁ τοῦ θεοῦ λόγος ἐξ οὐκ ὄντων γέγονε und bei Athan. Ep. ad episc. Lib. et Aeg. 12 (I 281 D) 12 Vgl. Urk. 4b S. 8, 9. Zu ἐπιδεκτικόν vgl. Urk. 23 S. 48, 3 f. Vgl. hier den Gegensatz zu Origenes in Joh. I 28, 191f. (35, 14ff.). 16 Jes. 1,2. Auf dieses Wort nimmt Eusebius von Nikomedien Paulinus gegenüber Bezug Urk. 8 S. 17, 1 Die folgenden Ausführungen sind stark von der Diskussion über den Inhalt des Eusebbriefes bestimmt 18 Vgl. Arius bei Athan. Or. I. c. Arian. 5 (I 409 E) διὰ τοῦτο (weil Christus wandelbarer Natur ist) γάρ φησι καὶ προγινώσκων ὁ θεὸς ἔσεσθαι καλὸν αὐτόν, προλαβὼν αὐτῷ ταύτην τὴν δόξαν δέδωκεν, ἣν ἄνθρωπος καὶ ἐκ τῆς ἀρετῆς ἔσχε μετὰ ταῦτα· ὥστε ἐξ ἔργων αὐτοῦ, ὧν προέγνω ὁ θεὸς τοιοῦτον αὐτὸς νῦν γεγονέναι πεποίηκε 20 Vgl. unten S. 24, 5f. 23—S. 22, 1 Diese Stelle hat eine auffallende Ähnlichkeit mit Origenes de princ. IV 4, 4 (354,6ff.), hier folgt auch das Zitat aus Ps. 44, 8

Theod. (A n s z) Th.

1 βωμολοχικαῖς sz 2 αὐτῶν Hsz Th. 6 ὑπ' αὐτοῖς S Th. 9 πέφυκεν] εἶναι πέφυκεν D εἶναι συμβέβηκεν Th. 10 φησίν Theod. Th. 12 δεκτικόν Th. 14 τὴν—σημαίνουσιν] τὴν σοφίαν σημαίνουσι καὶ τὴν θεότητα Th. 18 προγνώσει bis 20 φασίν läßt Th. zunächst aus, bemerkt aber erst bei φύσεως Z. 21 seinen Fehler und schreibt dann den fehlenden Text einschließlich der schon vorher niedergeschriebenen Worte 21 οὔτε—φύσεως nach 18/19 εἰδότα περὶ αὐτοῦ ∼ Th. 19 ἐξηλέχθαι Th. 20 τίς > Th. | ἔχοντα Th. so nur zuerst 24 δὲ > H Th.

καὶ παρατιθέμενοι τὸ ἐν Ψαλμοῖς περὶ Χριστοῦ ῥητόν, τὸ οὕτως ἔχον· »ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀδικίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ θεός, ὁ θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου«.
15 Περὶ μὲν οὖν ὅτι ὁ υἱὸς τοῦ θεοῦ οὔτε ἐξ οὐκ ὄντων γεγένηται, οὔτε ἦν ποτε ὅτε οὐκ
ἦν, αὐτάρκης ἐπαίδευσεν Ἰωάννης ὁ εὐαγγελιστὴς γράφων οὕτως περὶ αὐτοῦ· »ὁ μονο-
γενὴς υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός«. προνοούμενος γὰρ ὁ θεῖος δεικνύναι διδάσκα-
λος ἀλλήλων ἀχώριστα πράγματα δύο, τὸν πατέρα καὶ τὸν υἱόν, ὄντα αὐτὸν ἐν τοῖς
16 κόλποις τοῦ πατρὸς ὠνόμασεν. ἀλλὰ γὰρ καὶ ὅτι τοῖς ἐξ οὐκ ὄντων γενομένοις ὁ λόγος
τοῦ θεοῦ οὐ συναριθμεῖται, πάντα δι' αὐτοῦ γεγονέναι φησὶν ὁ αὐτὸς Ἰωάννης. τὴν
γὰρ ἰδιότροπον αὐτοῦ ὑπόστασιν ἐδήλωσεν εἰπών· »ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ ὁ λόγος
ἦν πρὸς τὸν θεὸν καὶ θεὸς ἦν ὁ λόγος. πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο
17 οὐδὲ ἕν.« εἰ γὰρ πάντα δι' αὐτοῦ ἐγένετο, πῶς ὁ τοῖς γενομένοις τὸ εἶναι χαρισάμενος
αὐτός ποτε οὐκ ἦν; οὐ γάρ πως ὁ λόγος, τὸ ποιοῦν, τοῖς γενομένοις τῆς αὐτῆς εἶναι φύ-
σεως διορίζεται, εἴ γε αὐτὸς μὲν ἦν ἐν ἀρχῇ, πάντα δὲ δι' αὐτοῦ ἐγένετο [καὶ ἐξ οὐκ ὄντων
18 ἐποίησεν]. ἐναντίον γὰρ δοκεῖ τοῖς ἐξ οὐκ ὄντων γενομένοις τὸ ὂν καὶ ἀφεστηκὸς σφόδρα.
τὸ μὲν γὰρ μεταξὺ πατρὸς καὶ υἱοῦ οὐδὲν δείκνυσιν εἶναι διάστημα, οὐδ' ἄχρι τινὸς ἐννοίας
τοῦτο φαντασιῶσαι τῆς ψυχῆς δυναμένης· τὸ δὲ ἐξ οὐκ ὄντων δημιουργεῖσθαι τὸν κόσ-
μον νεωτέραν ἔχει τὴν ὑπόστασιν καὶ πρόσφατον τὴν γένεσιν, ὑπὸ τοῦ πατρὸς διὰ τοῦ
19 υἱοῦ πάντων εἰληφότων τὴν τοιαύτην οὐσίωσιν. μακρὸν γοῦν θεωρήσας τοῦ θεοῦ
λόγου τὸ ἦν καὶ ὑπεραῖρον τῆς τῶν γενητῶν διανοίας ὁ εὐλαβέστατος Ἰωάννης γένεσιν
αὐτοῦ καὶ ποίησιν ἀπηξίωσεν εἰπεῖν, οὐδὲ ταῖς ὁμοστοίχοις συλλαβαῖς τὸ ποιοῦν τοῖς
γιγνομένοις ὀνομάσαι τολμήσας, οὐχ ὅτι ἀγέννητος ἦν (ἓν γὰρ ἀγέννητον ὁ πατήρ),
ἀλλ' ὅτι τῆς ἐξεσμένης τῶν εὐαγγελιστῶν, τάχα δὲ καὶ ἀγγέλων καταλήψεως ὑπερέκεινά
ἐστιν ἡ τοῦ μονογενοῦς θεοῦ ἀνεκδιήγητος ὑπόστασις. εὐσέβειαν οὐκ οἶμαι λογιζομένους
τοὺς μέχρι τούτων ἐπερωτᾶν τι τολμῶντας, διὰ τὸ ἀνήκοον τοῦ »χαλεπώτερά σου μὴ
20 ζήτει, καὶ ὑψηλότερά σου μὴ ἐξέταζε«. εἰ γὰρ ἑτέρων πολλῶν ἡ γνῶσις, καὶ τούτου
ἀσυγκρίτως κολοβωτέρων, κέκρυπται τὴν ἀνθρωπίνην κατάληψιν (οἷά ἐστι παρὰ

1—3 Ps. 44, 8 u. Hebr. 1, 9 4 Vgl. Urk. 4b S. 7, 19ff. und das dort Angemerkte 5/6 Jh. 1, 18 7 Zu δύο πράγματα vgl. Origenes c. Cels. VIII 12 (229, 31 ff.): θρησκεύομεν οὖν τὸν πατέρα τῆς ἀληθείας καὶ τὸν υἱὸν τὴν ἀλήθειαν, ὄντα δύο τῇ ὑποστάσει πράγματα, ἓν δὲ τῇ ὁμονοίᾳ καὶ τῇ συμφωνίᾳ καὶ τῇ ταυτότητι τοῦ βουλήματος. Alexander v. Alexandrien frg. syr. IV (Pitra, Anal. sacra IV 199), ich gebe das Stück in griechischer Übersetzung: ὁ πατὴρ μόνος ἀγέννητός ἐστιν καὶ ἀεὶ ὁ υἱὸς ἦν πρὸς τὸν πατέρα, ἀπαύγασμα γὰρ τοῦ φωτὸς ὠνομάσθη. ἕτερόν ἐστιν τὸ φῶς, ἕτερον δὲ τὸ ἀπαύγασμα, δύο πράγματα ἀλλήλων ἀχώριστα. αἰτία ἐστὶν τοῦ ἀπαυγάσματος τὸ φῶς, οὕτως καὶ ὁ πατὴρ τοῦ υἱοῦ οὐχ ὡς μέρος αὐτοῦ, ἀλλ' ὡς αἰτία τῆς ὑποστάσεως αὐτοῦ, ὃν ἐγέννησε θελήσει ἑαυτοῦ. Vgl. ferner Euseb v. Caes. Urk. 3 S. 6, 2 9 Jh. 1, 3 10 Vgl. die Ausführungen bei Origenes in Joh. II 10. 11 (64—67) 10 ff. Jh. 1, 1—3 16/17 Vgl. Urk. 8 S. 16, 6 f. 18 Origenes in Joh. II 10, 72 (64, 25 ff.). 20 Vgl. Jh. 1, 7 22 Siehe unten S. 26, 24 25/26 Sir. 3, 21

Theod. (A n s z) Th.

1 τὸ² > n Th. 2 ἀδικίαν] ἀνομίαν DV Th. ἀδικίαν Cod. Alex. im Ps. u. Hebr. 4 γεγένηται] ἐγένετο sz 5 ἐπαίδευσεν Op. vgl. S. 27, 16] παιδεῦσαι Theod. Th. 6/7 δεικνύναι διδάσκαλος] λόγος δεικνύναι sz ἀπόστολος δεικνύναι Th. 12 ἓν + ὃ γέγονεν V Th. vgl. Jh. | ἐγένετο] γέγονεν AsLv. 14/15 καὶ ἐξ οὐκ ὄντων ἐποίησεν > Theod. (z, ausradiert A) 15 γὰρ] δὲ Th. | καὶ + τὸ Th. 16 τοῦ πατρὸς καὶ τοῦ υἱοῦ Th. 18 τῆς ὑποστάσεως Theod. | γένεσιν] γέννησιν Lv Th. 19 ἐπιθεωρήσας Th. 20 ὑπεραῖρον] ὑπερόριον ADL Th. | γεννητῶν HDL 21 ὁμοστίχοις Asz ὁμοστύχοις Th. 23 τῶν] καὶ ns Th. 24 θεοῦ] υἱοῦ Th. 24/25 Wie oben scheint auch Theod. (A) gelesen zu haben: εἰς (εἰς übergeschrieben) εὐσεβεῖς (εἰς auf Rasur) . . . λογιζομένου/// τοῦ// . . .; wie oben auch v, aber λογιζομένου | εὐσέβειαν] εὐσεβεῖς Theod. (n) εἰς εὐσεβεῖς Theod. (sDL) Th. Sirmond. Parm. | λογιζομένου Theod. (sz) Th. 25 τοὺς] τοῦ Theod. (sDL) Th. | τοὺς + μὴ Theod. (n) | τολμῶντος sDL Th. 25/26 χαλεπώτερα und ὑψηλότερα ∼ Th. | χαλεπώτερα] βαθύτερα s vgl. Sirach 26 ὑψηλότερα] ἰσχυρότερα Sir. | ἐξέταζε] φρόνει n vgl. Sir.

Παύλῳ· »ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη
ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν«, ἀλλὰ καὶ τὰ ἄστρα φησὶν ὁ θεὸς τῷ Ἀβραὰμ
ἀριθμῆσαι μὴ δύνασθαι, καὶ ἔτι »ἄμμον θαλασσῶν καὶ σταγόνας ὑετοῦ«, φησί, »τίς ἐξαριθ-
μήσει;«), πῶς ἂν περιεργάσαιτό τις τὴν τοῦ θεοῦ λόγου ὑπόστασιν, ἐκτὸς εἰ μὴ μελαγχο-
λικῇ διαθέσει ληφθεὶς τυγχάνοι; περὶ ἧς τὸ προφητικὸν πνεῦμά φησι· »τὴν γενεὰν αὐτοῦ 21
τίς διηγήσεται;« ἣν καὶ αὐτὸς ὁ σωτὴρ ἡμῶν, εὐεργετῶν τοὺς πάντων τῶν ἐν τῷ κόσμῳ
κίονας, τὴν περὶ τούτου γνῶσιν αὐτῶν ἀποφορτίσασθαι ἐσπούδασεν, πᾶσι μὲν οὖν
αὐτοῖς ἀφύσικον εἶναι λέγων εἰς κατάληψιν, μόνῳ δὲ τῷ πατρὶ ἀνακεῖσθαι τὴν τοῦ θειο-
τάτου τούτου μυστηρίου εἴδησιν· »οὐδεὶς γὰρ ἔγνω τίς ἐστιν ὁ υἱὸς« λέγων »εἰ μὴ ὁ
πατήρ· καὶ τὸν πατέρα οὐδεὶς ἔγνωκεν εἰ μὴ ὁ υἱός«. περὶ οὗ καὶ τὸν πατέρα οἶμαι λέγειν
»τὸ μυστήριόν μου ἐμοί«.

Ὅτι δὲ μανιῶδες τὸ ἐξ οὐκ ὄντων τὸν υἱὸν γεγονέναι φρονεῖν, χρονικὴν ἔχον τὴν 22
πρόθεσιν, αὐτόθεν δείκνυται τὸ ἐξ οὐκ ὄντων, κἂν ἀγνοῶσιν οἱ ἀνόητοι τὴν τῆς φωνῆς
αὐτῶν μανίαν. ἢ γὰρ χρόνοις ἐμπολιτεύεσθαι δεῖ τὸ οὐκ ἦν, ἢ αἰῶνός τινι διαστήματι.
εἰ τοίνυν ἀληθὲς τὸ πάντα δι' αὐτοῦ γεγονέναι, δῆλον ὅτι καὶ πᾶς αἰὼν καὶ χρόνος καὶ 23
διαστήματα καὶ τὸ ποτέ, ἐν οἷς τὸ οὐκ ἦν εὑρίσκεται, δι' αὐτοῦ ἐγένετο, καὶ πῶς οὐκ
ἀπίθανον τὸν καὶ χρόνους καὶ αἰῶνας καὶ καιρούς, ἐν οἷς τὸ οὐκ ἦν συμπέφυρται, ποιή-
σαντα, αὐτόν ποτε μὴ εἶναι λέγειν; ἀδιανόητον γὰρ καὶ πάσης ἀμαθίας ἀνάπλεων τὸν
αἴτιον γενόμενόν τινος αὐτὸν μεταγενέστερον λέγειν τῆς ἐκείνου γενέσεως.

Προηγεῖται γὰρ κατ' αὐτοὺς τῆς τὰ ὅλα δημιουργούσης τοῦ θεοῦ σοφίας ἐκεῖνο 24
τὸ διάστημα ἐν ᾧ φασι μὴ γεγενῆσθαι τὸν υἱὸν ὑπὸ τοῦ πατρός, ψευδομένης κατ' αὐτοὺς
καὶ τῆς πρωτότοκον αὐτὸν εἶναι πάσης κτίσεως ἀναγορευούσης γραφῆς. σύμφωνα 25
γοῦν τούτοις βοᾷ καὶ ὁ μεγαλοφωνότατος Παῦλος φάσκων περὶ αὐτοῦ· »ὃν ἔθηκε κληρο-
νόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν«, ἀλλὰ καὶ »ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα,
τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι,
εἴτε κυριότητες, εἴτε θρόνοι· πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται· καὶ αὐτός ἐστι
πρὸ πάντων«.

Ἀσεβεστάτης οὖν φανείσης τῆς ἐξ οὐκ ὄντων ὑποθέσεως, ἀνάγκη τὸν πατέρα ἀεὶ 26
εἶναι πατέρα· ἔστι δὲ πατὴρ ἀεὶ παρόντος τοῦ υἱοῦ, δι' ὃν χρηματίζει πατήρ· ἀεὶ δὲ
παρόντος αὐτῷ τοῦ υἱοῦ, ἀεί ἐστιν ὁ πατὴρ τέλειος, ἀνελλιπὴς τυγχάνων ἐν τῷ καλῷ,
οὐ χρονικῶς οὐδὲ ἐκ διαστήματος οὐδὲ ἐξ οὐκ ὄντων γεννήσας τὸν μονογενῆ υἱόν. τί 27
δέ; οὐκ ἀνόσιον τὸ λέγειν μὴ εἶναί ποτε τὴν σοφίαν τοῦ θεοῦ, τὴν λέγουσαν· »ἐγὼ

1/2 I. Kor. 2,9 2/3 Vgl. Gen. 15, 5 3 f. Sir. 1, 2 5/6 Jes. 53, 8 7 Zu κίονας verweist Valois auf die στῦλοι, die Apostel aus Gal. 2, 9. Vgl. Gelasius II 7, 3 (46, 19) 9/10 Mt. 11, 27; s. S. 27, 12 f. Komm. 11 Jes. 24, 16 (Hexapl.) 12 f. Eine ähnliche Ausführung findet sich bei Basilius adv. Eunomium II 13 (I 247 D/E) 17 f. Nicht nur Anspielung auf Hebr. 1, 2; gewiß will Alexander die richtigen Folgerungen aus Urk. 6 S. 12, 7 ziehen 22 Kol. 1, 15 23/24 Hebr. 1, 2 24 ff. Kol. 1, 16—17 28 ff. Über die ewige Vaterschaft siehe Alexander bei Arius Urk. 1 S. 2,1 und Origenes de princ. I 2, 2 (29, 12 ff.) und I 2,10 (41, 11), Dionysius Alex. bei Athan. de sent. Dion. 15 (I 253 E = Feltoe 186, 4—9): οὐ γὰρ ἦν, ὅτε ὁ θεός οὐκ ἦν πατήρ. .... οὐ γὰρ δὴ τούτων ἄγονος ὢν ὁ θεὸς εἶτα ἐπαιδοποιήσατο. Und ebenda (I 254 B = Feltoe 187, 14 ff.): ὄντος γὰρ γονέως ἔστι καὶ τέκνον. εἰ δὲ μὴ τέκνον εἴη, πῶς καὶ τίνος εἶναι δύναται γονεύς; ἀλλ' εἰσὶν ἄμφω καὶ εἰσὶν ἀεί. Wie sich Euseb v. Cäsarea von Alexander unterscheidet, ist aus Dem. ev. IV 3,6 (153, 8 ff.) ersichtlich 29 Vgl. dagegen Arius bei Athan. de syn. 15 (I 728 E): αὐτίκα γοῦν υἱοῦ μὴ ὄντος ὁ πατὴρ θεός ἐστι 32—p. 24, 1 Prov. 8, 30

Theod. (A n s z) Th.

2 ἃ] ὅσα As vgl. I. Kor. 5 τὴν + δὲ D Th. 9 γὰρ > H Th. 9/11 Einige Varianten gegen Mt. 10 λέγειν οἶμαι ~ sz Th. 12 γεγονέναι τὸν υἱὸν ~ Th. 13 πρόθεσιν] προβολὴν ADL ὕπαρξιν Th. 17 τὸν > Th. 18 ἀνόητον Th. 21 γενέσθαι Th. 29 τοῦ > Th. 29 δι' ὃν bis 30 υἱοῦ > Th.

ἤμην παρ' αὐτῷ ἁρμόζουσα, ἐγὼ ἤμην ᾗ προσέχαιρεν«, ἢ τὴν δύναμιν τοῦ θεοῦ ποτε
μὴ ὑπάρχειν, ἢ τὸν λόγον αὐτοῦ ἠκρωτηριάσθαι ποτέ, ἢ τὰ ἄλλα ἐξ ὧν ὁ υἱὸς γνωρίζεται
καὶ ὁ πατὴρ χαρακτηρίζεται; τὸ γὰρ ἀπαύγασμα τῆς δόξης μὴ εἶναι λέγειν συναναιρεῖ
καὶ τὸ πρωτότυπον φῶς, οὗ ἐστιν ἀπαύγασμα. εἰ δὲ καὶ ἡ εἰκὼν τοῦ θεοῦ οὐκ ἦν ἀεί, δῆλον
28 ὅτι οὐδὲ οὗ ἐστιν εἰκὼν ἔστιν ἀεί. ἀλλὰ καὶ τῷ μὴ εἶναι τὸν τῆς ὑποστάσεως τοῦ θεοῦ
χαρακτῆρα συναναιρεῖται κἀκεῖνος ὁ πάντως ὑπ' αὐτοῦ χαρακτηριζόμενος. ἐξ ἧς ἔστιν
ἰδεῖν τὴν υἱότητα τοῦ σωτῆρος ἡμῶν οὐδεμίαν ἔχουσαν κοινωνίαν πρὸς τὴν τῶν λοιπῶν
29 υἱότητα. ὃν τρόπον γὰρ ἡ ἄρρητος αὐτοῦ ὑπόστασις ἀσυγκρίτῳ ὑπεροχῇ ἐδείχθη
ὑπερκειμένη πάντων οἷς αὐτὸς τὸ εἶναι ἐχαρίσατο, οὕτως καὶ ἡ υἱότης αὐτοῦ, κατὰ φύσιν
τυγχάνουσα τῆς πατρικῆς θεότητος, ἀλέκτῳ ὑπεροχῇ διαφέρει τῶν δι' αὐτοῦ θέσει
υἱοθετηθέντων. ὁ μὲν γὰρ ἀτρέπτου φύσεως τυγχάνει, τέλειος ὢν καὶ διὰ πάντων ἀνενδεής·
30 οἱ δὲ τῇ εἰς ἑκάτερα τροπῇ ὑποκείμενοι τῆς παρὰ τούτου βοηθείας δέονται. τί γὰρ
ἂν καὶ προκόψαι ἔχοι ἡ τοῦ θεοῦ σοφία, ἢ τί προσλαβεῖν ἡ αὐτοαλήθεια; ἢ ὁ θεὸς λόγος
πῶς ἂν ἔχοι βελτιωθῆναι ἢ ἡ ζωὴ ἢ τὸ ἀληθινὸν φῶς; εἰ δὲ τοῦτο, πόσῳ πλέον ἀφύσικον
τυγχάνει μωρίας ποτὲ δεκτικὴν γενέσθαι τὴν σοφίαν ἢ τὴν τοῦ θεοῦ δύναμιν ἀσθενείᾳ
προσπλακῆναι, ἢ ἀλογίᾳ τὸν λόγον ἀμαυρωθῆναι ἢ τῷ ἀληθινῷ φωτὶ ἐπιμιχθῆναι
σκότος, τοῦ μὲν ἀποστόλου αὐτόθεν λέγοντος »τίς κοινωνία φωτὶ πρὸς σκότος, ἢ τίς
συμφώνησις Χριστῷ πρὸς Βελίαρ«, τοῦ δὲ Σολομῶντος ὅτι ἀδύνατον ἂν εἴη κἂν μέχρι
τινὸς ἐννοίας εὑρεθῆναι ὁδοὺς ὄφεως ἐπὶ πέτρας, ἥτις κατὰ Παῦλόν ἐστιν ὁ Χριστός; οἱ
δὲ κτίσματα αὐτοῦ τυγχάνοντες, ἄνθρωποί τε καὶ ἄγγελοι, καὶ εὐλογίας εἰλήφασι προ-
31 κόπτειν ἀρεταῖς ἀσκούμενοι καὶ νομίμοις ἐντολαῖς πρὸς τὸ μὴ ἁμαρτάνειν. διὸ δὴ ὁ
κύριος ἡμῶν, φύσει τοῦ πατρὸς υἱὸς τυγχάνων, ὑπὸ πάντων προσκυνεῖται· οἱ δὲ ἀπο-
θέμενοι τὸ πνεῦμα τῆς δουλείας, ἐξ ἀνδραγαθημάτων καὶ προκοπῆς τὸ τῆς υἱοθεσίας
λαβόντες πνεῦμα, διὰ τοῦ φύσει υἱοῦ εὐεργετούμενοι γίγνονται αὐτοὶ θέσει υἱοί.
32 Τὴν μὲν οὖν γνησίαν αὐτοῦ καὶ ἰδιότροπον καὶ φυσικὴν καὶ κατ' ἐξαίρετον υἱότητα
ὁ Παῦλος οὕτως ἀπεφήνατο, περὶ θεοῦ εἰπών· »ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ'
33 ὑπὲρ ἡμῶν (δηλονότι τῶν μὴ φύσει υἱῶν) παρέδωκεν αὐτόν«. πρὸς γὰρ ἀντι-
διαστολὴν τῶν οὐκ ἰδίων αὐτὸν ἴδιον υἱὸν ἔφησεν εἶναι. ἐν δὲ τῷ Εὐαγγελίῳ· »οὗτός
ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα«. ἐν δὲ Ψαλμοῖς ὁ σωτήρ φησιν· »κύριος
εἶπε πρός με· υἱός μου εἶ σύ«. γνησιότητα ἐμφανίζων σημαίνει μὴ εἶναι αὐτοῦ γνησίους
34 υἱοὺς ἄλλους τινὰς παρ' αὐτόν. τί δὲ καὶ τὸ »ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε«;

---

1 Vgl. zu δύναμιν τοῦ θεοῦ I. Kor. 1, 24 3 Hebr. 1, 3 4 II. Kor. 4, 4 9ff. κατὰ φύσιν u. θέσει vgl. Origenes de princ. I 2, 4 (33, 2—3): non per adoptionem spiritus filius fit extrinsecus, sed natura filius est, siehe auch Koetschaus Komm. zu dieser Stelle 12f. Vgl. oben S. 21, 12 13 Zu ἡ τοῦ θεοῦ σοφία vgl. I. Kor. 1, 24 | Zu αὐτοαλήθεια vgl. Origenes in Joh. VI 6, 38 (114, 22) 17/18 II. Kor. 6, 14—15 19 Prov. 24, 54; I. Kor. 10, 4 20 In der Beurteilung der Engel folgt Alexander offenbar Origenes, der die Engel in Rücksicht auf ihre Erschaffung neben die Menschen stellt: vgl. de princ. I, 8 und Huet, Origeniana II qu. 5, 11. 12 22 Phil. 2, 11 22ff. Rm. 8,15 24 Zu der Gegenüberstellung der φύσει υἱοί mit den κατὰ χάριν υἱοί vgl. Irenäus c. haer. III, 19 (524f. Stieren); Heracleon bei Origenes in Joh. XX 24,213 (359, 15); Origenes in ep. ad Rom. VII, 1 (VII, 86/87 Lommatzsch); Marcell v. Ancyra frg. 41 (192, 1ff. Klostermann); Athan. de decr. nic. 22 (I 228 B/C) 26/27 Rm. 8,32 28/29 Mt. 3, 17; 17, 5 29/30 Ps. 2, 7 31 Ps. 109, 3. Vgl. Urk. 6 S. 13, 17 und Urk. 4b S. 9, 2

Theod. (A n s z) Th.

---

2 τἆλλα Th. 4 ἀεί > Th. 5 ἔστιν ἀεί > Th. | τῷ] τὸ GF Th. 6 συναναιρεῖται — χαρακτηριζόμενος] συναιρεῖ κἀκεῖνον τὸν πάντως ὑπ' αὐτοῦ χαρακτηριζόμενον Th. 8 γὰρ τρόπον ~ n Th. 12 παρὰ τούτου] παρ' αὐτοῦ sz Th. 14 ζωὴ· ἢ τὸ n Th. ἡ ζωὴ· τὸ sz 18 Χῷ] Χῦ Lv Th. vgl. Urk. 4b S. 8, 16 19 τινὸς Jülicher nach S. 22, 16 πρὸς Theod. > Th. 21 νομίμους ἐντολὰς sD Th. 24 γίνονται Th. 28 υἱὸν > Th. 29 ηὐδόκησα sF Th. 30 καὶ γνησιότητα Th.

οὐχὶ ἄντικρυς τῆς πατρικῆς μαιώσεως φυσικὴν ἐνδείκνυται υἱότητα, οὐ τρόπων ἐπι-
μελείᾳ καὶ προκοπῆς ἀσκήσει, ἀλλὰ φύσεως ἰδιώματι ταύτην λαχόντος; ὅθεν καὶ ἀμετά-
πτωτον ἔχει τὴν υἱότητα ὁ μονογενὴς υἱὸς τοῦ πατρός. τὴν δὲ τῶν λογικῶν υἱοθεσίαν
οὐ κατὰ φύσιν αὐτοῖς ὑπάρχουσαν ἀλλὰ τρόπων ἐπιτηδειότητι καὶ δωρεᾷ θεοῦ καὶ μετα-
πτώτην οἶδεν ὁ λόγος· »ἰδόντες γὰρ οἱ υἱοὶ τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων
ἔλαβον ἑαυτοῖς γυναῖκας« καὶ τὰ ἑξῆς· καὶ »υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με
ἠθέτησαν« διὰ Ἡσαΐου εἰρηκέναι τὸν θεὸν ἐδιδάχθημεν.
Πολλὰ λέγειν ἔχων, ἀγαπητοί, παρέρχομαι, φορτικὸν εἶναι νομίσας διὰ πλειόνων 35
διδασκάλους ὁμόφρονας ὑπομιμνήσκειν. αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε οὐκ
ἀγνοοῦντες, ὅτι ἡ ἔναγχος ἐπαναστᾶσα τῇ ἐκκλησιαστικῇ εὐσεβείᾳ διδασκαλία Ἐβίωνός
ἐστι καὶ Ἀρτεμᾶ καὶ ζῆλος τοῦ κατὰ Ἀντιόχειαν Παύλου τοῦ Σαμοσατέως, συνόδῳ καὶ
κρίσει τῶν ἁπανταχοῦ ἐπισκόπων ἀποκηρυχθέντος τῆς ἐκκλησίας· ὃν διαδεξάμενος 36
Λουκιανὸς ἀποσυνάγωγος ἔμεινε τριῶν ἐπισκόπων πολυετεῖς χρόνους. ὧν τῆς ἀσεβείας
τὴν τρύγα ἐρροφηκότες νῦν ἡμῖν οἱ ἐξ οὐκ ὄντων ἐπεφύησαν, τὰ ἐκείνων κεκρυμμένα μοσχεύ-
ματα, Ἄρειός τε καὶ Ἀχιλλεὺς καὶ ἡ τῶν σὺν αὐτοῖς πονηρευομένων σύνοδος. καὶ οὐκ 37
οἶδ' ὅπως ἐν Συρίᾳ χειροτονηθέντες ἐπίσκοποι τρεῖς διὰ τὸ συναινεῖν αὐτοῖς ἐπὶ τὸ χεῖρον
ὑπεκκαίουσι, περὶ ὧν ἡ κρίσις ἀνακείσθω τῇ ὑμετέρᾳ δοκιμασίᾳ· οἳ τὰς μὲν τοῦ σωτηρίου
πάθους ταπεινώσεώς τε καὶ κενώσεως καὶ τῆς καλουμένης αὐτοῦ πτωχείας καὶ ὧν ἐπι-
κτήτους ὁ σωτὴρ δι' ἡμᾶς ἀνεδέξατο φωνὰς διὰ μνήμης ἔχοντες, παρατίθενται ἐπὶ παρα-
γραφῇ τῆς ἀνωτάτω καὶ ἀρχῆθεν αὐτοῦ θεότητος, τῶν δὲ τῆς φυσικῆς αὐτοῦ δόξης τε
καὶ εὐγενείας καὶ παρὰ τῷ πατρὶ μονῆς σημαντικῶν λόγων ἐπιλήσμονες γεγόνασιν·
οἷόν ἐστι τὸ »ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν«. ὅπερ φησὶν ὁ κύριος, οὐ πατέρα ἑαυτὸν ἀνα- 38
γορεύων οὐδὲ τὰς τῇ ὑποστάσει δύο φύσεις μίαν εἶναι σαφηνίζων, ἀλλ' ὅτι τὴν πατρι-
κὴν ἐμφέρειαν ἀκριβῶς πέφυκε σώζειν ὁ υἱὸς τοῦ πατρός, τὴν κατὰ πάντα ὁμοιότητα
αὐτοῦ ἐκ φύσεως ἀπομαξάμενος καὶ ἀπαράλλακτος εἰκὼν τοῦ πατρὸς τυγχάνων καὶ τοῦ
πρωτοτύπου ἔκτυπος χαρακτήρ. ὅθεν καὶ τῷ τηνικαῦτα ποθοῦντι ἰδεῖν Φιλίππῳ ἀφθόνως 39

3ff. Vgl. Urk. 8 (Schluß), Alexander wendet sich gegen die dort geäußerte Ansicht 5/6 Gen. 6, 2ff. u. 4 6/7 Jes. 1, 2. Vgl. Urk. 8 S. 17, 1 9 I. Thess. 4,9 10ff. Wenn auch der Vorwurf des Ebionitismus gegen Paul von Samosata und seine Anhänger sich vor dieser Zeit nicht nachweisen läßt, so führt doch die Nennung des Artemas auf die Vermutung, daß die Verbindung des Arius mit Artemas und danach mit Paul durch das Synodalschreiben von 268 (Eus. H. E. VII 30, 17; 712, 23f.) veranlaßt ist. Auch Athanasius de syn. 20 (I 733 C) stellt im Anschluß an sein Referat über Asterius die Arianer zu Artemas. Die Zusammenstellung des Ebion bzw. der Ebioniten, die die Gottheit des Sohnes leugnen, mit Paul v. Samosata, der Jesus den Christus-Gott nannte, aber bestritt, daß Christus vor seiner leiblichen Geburt Gott gewesen sei, findet sich auch bei Euseb eccl. theol. I 14, 1. 2 (74, 13ff.). Auch gegen Origenes erhob man die gleiche Anklage, vgl. Pamphilus apologia pro Origene I 5 (Opera Origenis ed. Lommatzsch 24,354): tertia ... quod dicunt eum secundum Artemam vel Paulum Samosatenum purum hominem id est non etiam deum dicere Christum filium dei. 13 Loofs hat bewiesen, daß Lukian nicht, wie man bisher annahm, der nikomedische Märtyrer aus dem Jahre 311 ist, sondern ein schismatischer Bischof der Gemeinde des Paul v. Samosata in Antiochien, siehe Loofs, Paulus v. Samosata S. 183ff. Alexander stellt Arius und seine Genossen mit Ebion, Artemas, Paul und Lukian zusammen, weil er wie diese die Gottheit des Sohnes in Abrede stellte. Nicht ist damit gesagt, daß Arius der Schüler dieser Ketzer gewesen ist 16 Nach Soz. I 15,11 sind die drei Bischöfe Euseb von Cäsarea, Paulin von Tyrus und Patrophilus von Skythopolis 18 vgl. Phil. 2, 7f. s. oben S. 20, 7f. 18 zu πτωχείας vgl. II. Kor. 8, 9 21 zu μονῆς vgl. Jh. 14, 23 22 Jh. 10, 30 23f. vgl. die Ausführungen Urk. 8 S. 16, 1f. u. Urk. 6 S. 13, 8

Theod. (A n s z) Th.

6 καὶ τὰ ἑξῆς] ἐξ αὐτῶν Th. (vgl. LXX) 7 τὸν θεὸν εἰρηκέναι ~ D Th. 11 Σαμωσατέως Th. 14 ἐπεφύησαν (sic!) + λέγοντες Th. 15 Ἀχιλλᾶς nV Th. 16 τὸ] τοῦ nD Th. 16/17 χεῖρον ὑπεκκαίουσι Th., aber χεῖρον + τε n ὑπεκκαίοντες A sz 22 πατήρ + μου SDv | ὅπερ] ὥσπερ Th. 23 τῇ] ἐν τῇ Th.

ὁ κύριος ἐμφανίζει, πρὸς ὃν λέγοντα »δεῖξον ἡμῖν τὸν πατέρα« λέγει· »ὁ ἑωρακὼς ἐμὲ
ἑώρακε τὸν πατέρα«, ὥσπερ δι' ἐσόπτρου ἀκηλιδώτου καὶ ἐμψύχου θείας εἰκόνος αὐτοῦ
40 θεωρουμένου τοῦ πατρός. ὧν ὅμοιον ἐν Ψαλμοῖς οἱ ἁγιώτατοί φασιν· »ἐν τῷ φωτί
σου ὀψόμεθα φῶς«. διὸ δὴ καὶ ὁ τιμῶν τὸν υἱὸν τιμᾷ τὸν πατέρα, καὶ εἰκότως· πᾶσα γὰρ
ἀσεβὴς φωνὴ εἰς τὸν υἱὸν λέγεσθαι τολμωμένη εἰς τὸν πατέρα τὴν ἀναφορὰν ἔχει.
41 Καὶ τί λοιπὸν ἔτι θαυμαστὸν ὃ μέλλω γράφειν, ἀγαπητοί, εἰ τὰς κατ' ἐμοῦ ψευ-
δεῖς διαβολὰς καὶ τοῦ εὐσεβεστάτου ἡμῶν λαοῦ ἐκθήσομαι; οἱ γὰρ κατὰ τῆς θεότητος
τοῦ υἱοῦ τοῦ θεοῦ παραταξάμενοι οὐδὲ τὰς καθ' ἡμῶν ἀχαρίστους παροινίας παρ-
αιτοῦνται λέγειν· οἵ γε οὐδὲ τῶν ἀρχαίων τινὰς συγκρίνειν ἑαυτοῖς ἀξιοῦσιν οὐδὲ οἷς
ἡμεῖς ἐκ παίδων ὡμιλήσαμεν διδασκάλοις ἐξισοῦσθαι ἀνέχονται, ἀλλ' οὐδὲ τῶν νῦν
πανταχοῦ συλλειτουργῶν τινα εἰς μέτρον σοφίας ἡγοῦνται, μόνοι σοφοὶ καὶ ἐπιστή-
μονες καὶ δογμάτων εὑρεταὶ λέγοντες εἶναι καὶ αὐτοῖς ἀποκεκαλύφθαι μόνοις, ἅπερ οὐδενὶ
τῶν ὑπὸ τὸν ἥλιον ἑτέρῳ πέφυκεν ἐλθεῖν εἰς ἔννοιαν.
42 Ὢ ἀνοσίου τύφου καὶ ἀμέτρου μανίας καὶ μελαγχολικῆς ἡρμοσμένης δόξης κενῆς
43 καὶ σατανικοῦ φρονήματος εἰς τὰς ἀνοσίους αὐτῶν ψυχὰς ἀποσκιρτήσαντος. οὐ κατῄ-
δεσεν αὐτοὺς ἡ τῶν ἀρχαίων γραφῶν φιλόθεος σαφήνεια, οὐδὲ ἡ τῶν συλλειτουργῶν σύμ-
φωνος περὶ Χριστοῦ εὐλάβεια τὴν κατ' αὐτοῦ θρασύτητα αὐτῶν ἠμαύρωσεν. ὧν οὐδὲ
τὰ δαιμόνια τῆς ἀνοσιουργίας ἀνέξεται, φωνὴν βλάσφημον κατὰ τοῦ υἱοῦ τοῦ θεοῦ
εἰπεῖν φυλαττόμενα.
44 Ταῦτα μὲν οὖν ἡμῖν κατὰ τὴν παροῦσαν δύναμιν ἐπιπορίσθω πρὸς τοὺς ἀπαι-
δεύτῳ ὑλακῇ κατὰ τοῦ Χριστοῦ κονισαμένους καὶ τὴν εἰς αὐτὸν εὐσέβειαν ἡμῶν συκο-
φαντεῖν προθεμένους. φασὶ γὰρ ἡμᾶς οἱ φληνάφων ἐφευρεταὶ μύθων ἀποστρεφομένους
τὴν ἐξ οὐκ ὄντων ἀσεβῆ καὶ ἄγραφον κατὰ Χριστοῦ βλασφημίαν ἀγέννητα διδάσκειν
δύο, δυοῖν θάτερον δεῖν εἶναι λέγοντες οἱ ἀπαίδευτοι ἢ ἐξ οὐκ ὄντων αὐτὸν εἶναι φρονεῖν
ἢ πάντως ἀγέννητα λέγειν δύο· ἀγνοοῦντες οἱ ἀνάσκητοι ὡς μακρὸν ἂν εἴη μεταξὺ
πατρὸς ἀγεννήτου καὶ τῶν κτισθέντων ὑπ' αὐτοῦ ἐξ οὐκ ὄντων, λογικῶν τε καὶ ἀλόγων.
45 ὧν μεσιτεύουσα φύσις μονογενής, δι' ἧς τὰ ὅλα ἐξ οὐκ ὄντων ἐποίησεν ὁ πατὴρ τοῦ
θεοῦ λόγου, ἐξ αὐτοῦ τοῦ ὄντος πατρὸς γεγέννηται· ὡς καὶ αὐτός που διεμαρτύρατο
λέγων ὁ κύριος· »ὁ ἀγαπῶν τὸν πατέρα ἀγαπᾷ καὶ τὸν υἱὸν τὸν ἐξ αὐτοῦ γεγεννημένον«.
46 Περὶ ὧν ἡμεῖς οὕτως πιστεύομεν, ὡς τῇ ἀποστολικῇ ἐκκλησίᾳ δοκεῖ· εἰς μόνον

1/2 Jh. 14, 8—9 2 vgl. zu ἐσόπτρου u. εἰκόνος Sap. Sal. 7, 26 u. Hebr. 1, 3 3/4 Ps. 35, 10. 4 vgl. Jh. 5,23 6 vgl. S. 21, 2 f. 11 ff. Vgl. den Anfang von Arius' Thaleia bei Athan. Or. I. c. Arian. 5 (I 408 E—409 A) 23 Hier nimmt Alexander deutlich Bezug auf die Gedanken in Urk. 8 S. 16, 1 ff. Also Paulinus hat wirklich einen Brief an Alexander geschrieben mit dem ihm von Euseb von Nikomedien vorgeschlagenen Inhalt, siehe Urk. 9 25 Origenes in Joh. II 10, 75 (65, 17): ἀγέννητον μηδὲν ἕτερον τοῦ πατρὸς εἶναι πιστεύοντες . . ., de princ. I 2,6 (35, 8); Dionys. Alex. c. Sabellium bei Euseb Praep. ev. VII 19 (333 d 7 Gifford = 183,8 Feltoe) 26 Euseb Dem. ev. IV 6, 3 (158, 29 ff.), 10, 16 (167, 34 ff.): μέσος τε ἑστὼς (sc. Χριστὸς) θεοῦ τοῦ ἀγενήτου καὶ τῶν μετ' αὐτὸν γενητῶν und Laus 12, 6 (231, 14) = Theoph. I 24 (47, 12): μεσεύων ἀμηγέπη καὶ συνάγων πρὸς τὸν ἀγέννητον τὴν γεννητὴν οὐσίαν 29 I Jh. 5, 1 30 ff. Zu diesem Glaubensbekenntnis ist das von der Antiochenischen Synode promulgierte (Urk. 18) zu vergleichen. Hin und wieder wird auch auf die Formel des Arius Urk. 6 Bezug genommen. Vgl. auch Origenes' Praefatio zu de principiis 30—p. 27, 1 μόνον ἀγέννητον vgl. Urk. 6 S. 12, 4

Theod. (A n s z) Th.

1 ἐμφανίζει] ἐμφαίνει Th. 2 αὐτοῦ εἰκόνος ~ Th. 6 ἔτι] ἐστι s Th. 7 λαοῦ ἡμῶν ~ Th. 8 ἀχαρίστους] ἀχρήστους Th. 11/12 ἐπιστήμονες vgl. Jes. 5,21 Jülicher ἀκτήμονες Theod. Th. 15 ἀποσκιρτήσαντος Op. vgl. S. 19, 5. So las auch Cassiodor: vehementer insiliens. ἀποσκιρώσαντος Theod. (AnS) Th., dann ist aber εἰς zu streichen ἐγσκηνώσαντος Theod. (L) 17 ἠμαύρωσεν] ἠμέρωσεν Th. 20 ἐπιπορίσθω Th. ἐπηπορήσθω AS alle Hss. anders 21 ὑλακῇ] ὕλῃ Theod. Cass. | τοῦ > z Th. 22 προσθεμένους Th. 23/24 δύο ἀγέννητα διδάσκειν ~ Th. 29 καὶ > sz Th. vgl. I. Jh.

ἀγέννητον πατέρα, οὐδένα τοῦ εἶναι αὐτῷ τὸν αἴτιον ἔχοντα, ἄτρεπτόν τε καὶ ἀναλλοί-
ωτον, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντα, οὔτε προκοπὴν οὔτε μείωσιν ἐπιδεχόμενον,
νόμου καὶ προφητῶν καὶ εὐαγγελίων δοτῆρα, πατριαρχῶν καὶ ἀποστόλων καὶ ἁπάντων
ἁγίων κύριον· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστόν, τὸν υἱὸν τοῦ θεοῦ μονογενῆ, γεννη-
θέντα οὐκ ἐκ τοῦ μὴ ὄντος, ἀλλ' ἐκ τοῦ ὄντος πατρός, οὐ κατὰ τὰς τῶν σωμάτων ὁμοιότη-
τας ταῖς τομαῖς ἢ ταῖς ἐκ διαιρέσεων ἀπορροίαις, ὥσπερ Σαβελλίῳ καὶ Βαλεντίνῳ δοκεῖ,
ἀλλ' ἀρρήτως καὶ ἀνεκδιηγήτως, κατὰ τὸν εἰπόντα, ὡς ἀνωτέρω παρεθήκαμεν· »τὴν
γενεὰν αὐτοῦ τίς διηγήσεται;« τῆς ὑποστάσεως αὐτοῦ πάσῃ τῇ γενητῇ φύσει ἀπεριεργά-
στου τυγχανούσης, καθὼς καὶ αὐτὸς ὁ πατὴρ ἀπεριέργαστός ἐστι διὰ τὸ μὴ χωρεῖν τὴν
τῶν λογικῶν φύσιν τῆς πατρικῆς θεογονίας τὴν εἴδησιν. ἅπερ οὐ παρ' ἐμοῦ δεῖ μαθεῖν 47
ἄνδρας τῷ τῆς ἀληθείας πνεύματι κινουμένους, ὑπηχούσης ἡμᾶς καὶ τῆς φθασάσης
Χριστοῦ περὶ τούτου φωνῆς καὶ διδασκούσης· »οὐδεὶς οἶδε τίς ἐστιν ὁ πατήρ, εἰ μὴ ὁ
υἱός· καὶ οὐδεὶς οἶδε τίς ἐστιν ὁ υἱός, εἰ μὴ ὁ πατήρ«. ἄτρεπτον τοῦτον καὶ ἀναλλοίωτον
ὡς τὸν πατέρα, ἀπροσδεῆ καὶ τέλειον υἱόν, ἐμφερῆ τῷ πατρὶ μεμαθήκαμεν, μόνῳ τῷ ἀγεν-
νήτῳ λειπόμενον ἐκείνου. εἰκὼν γάρ ἐστιν ἀπηκριβωμένη καὶ ἀπαράλλακτος τοῦ πατρός.
πάντων γὰρ εἶναι τὴν εἰκόνα πλήρη δι' ὧν ἡ μείζων ἐμφέρεια δῆλον, ὡς αὐτὸς ἐπαίδευσεν 48
ὁ κύριος »ὁ πατήρ μου« λέγων »μείζων μού ἐστι«. καὶ κατὰ τοῦτο καὶ τὸ ἀεὶ εἶναι τὸν
υἱὸν ἐκ τοῦ πατρὸς πιστεύομεν· »ἀπαύγασμα γάρ ἐστι τῆς δόξης καὶ χαρακτὴρ τῆς πατρι-
κῆς ὑποστάσεως«. ἀλλὰ μή τις τὸ ἀεὶ πρὸς ὑπόνοιαν ἀγεννήτου λαμβανέτω, ὡς οἴονται
οἱ τὰ τῆς ψυχῆς αἰσθητήρια πεπωρωμένοι· οὔτε γὰρ τὸ ἦν, οὔτε τὸ ἀεί, οὔτε τὸ πρὸ αἰώ-
νων ταὐτόν ἐστι τῷ ἀγεννήτῳ. ἀλλ' οὐδ', ὁτιοῦν ἀνθρώπων ἔννοια ὀνοματοποιῆσαι 49
σπουδάσει, δηλοῖ τὸ ἀγέννητον (ὡς καὶ ὑμᾶς οὕτως ἐκδέχεσθαι πιστεύω καὶ τεθάρρηκα
τῇ περὶ πάντων ὑμῶν ὀρθῇ προθέσει), κατὰ μηδένα τρόπον τούτων τῶν ὀνομάτων τὸ
ἀγέννητον δηλούντων. ἔοικε γὰρ οἱονεὶ χρόνων εἶναι παρέκτασις ταῦτα τὰ ὀνόματα, 50
τὴν μέντοι κατ' ἀξίαν τοῦ μονογενοῦς θεότητα καὶ οἷον ἀρχαιότητα σημαίνειν μὴ δυνα-
μένων, τῶν δὲ ἁγίων ἀνδρῶν ὡς δύναμις ἑκάστῳ ἐμφανίσαι τὸ μυστήριον βιαζομένων
καὶ συγγνώμην αἰτούντων παρὰ τῶν ἀκροατῶν δι' εὐλόγου ἀπολογίας διὰ τοῦ λέγειν·
εἰς ἃ ἐφθάσαμεν. εἰ δέ τι παρὰ τὸ ἀνθρώπινον διὰ χειλέων φθέγμα μεῖζόν τι προσ- 51
δοκῶσιν οἱ ἄνδρες, τὰ ἐκ μέρους αὐτοῖς γνωσθέντα καταργεῖσθαι λέγοντες, δῆλον ὅτι
πολὺ τοῦ ἐλπιζομένου λείπεται τὸ ἦν καὶ τὸ ἀεὶ καὶ τὸ πρὸ αἰώνων· ὅπερ δ' ἂν ᾖ, οὐκ
ἔστι ταὐτὸν τῷ ἀγεννήτῳ. οὐκοῦν τῷ μὲν ἀγεννήτῳ πατρὶ οἰκεῖον ἀξίωμα φυλακτέον, 52

---

1 zu αἴτιον vgl. ebenda S. 13, 8 1/2 zu ἄτρεπτον καὶ ἀναλλοίωτον vgl. ebenda S. 12, 6 3 zu νόμου etc. vgl. ebenda S. 12, 6f. Origenes de princ. I praef. 4 (10, 3): legem et prophetas et evangelia ipse dedit 6 Σαβελλίῳ καὶ Βαλεντίνῳ vgl. ebenda S. 12, 10 ff. 7 ff. vgl. oben S. 23, 5 ff.: Jes. 53,8 11 vgl. zu τῷ τῆς ἀληθείας πνεύματι Jh. 16, 13 12/13 Mt. 11, 27 nicht ganz wörtlich vgl. S. 23, 9 f. Siehe E. Seeberg, Die Synode von Antiochien S. 130f. Schwerlich besteht, wie Seeberg behauptet, in der Absicht des Zitates an dieser Stelle ein Zusammenhang mit seiner Anwendung in dem antiochenischen Symbol Urk. 18 S. 38, 20 f. Denn hier soll es negativ beweisen, daß keine Kreatur das Wesen des Vaters und des Sohnes erfassen kann. Hingegen im Antiochenum kann das Wort gegen Arius (vgl. Urk. 4b S. 8, 4 f.) polemisieren vgl. Jh. 10, 15, worauf vielleicht der Wortlaut hinweist 13 Zu ἄτρεπτον etc. vgl. Urk. 6 S. 12, 9 17 Jh. 14, 28 vgl. Urk. 3 S. 5, 3 17/18 vgl. Alexander bei Arius Urk. 1 S. 2, 3 18/19 Hebr. 1, 3 24 Vgl. Origenes de princ. IV 4, 1 (350, 19 ff.) und I 3,4 (54, 14 ff.). Vgl. auch Platon Timaeus 37 e, zitiert von Eus. Praep. ev. XI 9 (524 d 5 Gifford). 28 Phil. 3, 16 28 ff. vgl. I. Kor. 13, 8—12

Theod. (A n s z) Th.

---

2 οὔτε[2]] οὐδὲ Th. 5 πατρὸς ἀλλ' ἐκ τοῦ ὄντος ~ Th. 6 διαιρέσεως s Th. 8 γεννητῇ AHsDL 13 καὶ bis πατήρ > Th. 14 ἐμφερεῖ Th. | μεμαθήκαμεν > sz Th. 16 δῆλον] δηλοῦ///αι Th. | der Raum ὡς αὐτὸς verwischt Th. 17 der Raum von πατήρ bis καί[1] verwischt und daher nichts erkennbar Th. 17/18 der Raum τὸν υἱὸν bis 18 πιστεύομεν verwischt, daher nichts erkennbar Th. 21 ὀνοματοποιῇ Th. 25 οἷον] οἱονεὶ Th. 30 ᾖ] εἴη D Th. | οὐκ ἔστι] οὐκ ἔτι s Th 31 τὸ οἰκεῖον V Th.

μηδένα τοῦ εἶναι αὐτῷ τὸν αἴτιον λέγοντας· τῷ δὲ υἱῷ τὴν ἁρμόζουσαν τιμὴν ἀπονεμητέον, τὴν ἄναρχον αὐτῷ παρὰ τοῦ πατρὸς γέννησιν ἀνατιθέντας· καὶ ὡς ἐφθάσαμεν αὐτῷ σέβας ἀπονέμοντες, μόνον εὐσεβῶς καὶ εὐφήμως τὸ ἦν καὶ τὸ ἀεὶ καὶ τὸ πρὸ αἰώνων λέγοντες ἐπ' αὐτοῦ, τὴν μέντοι θεότητα αὐτοῦ μὴ παραιτούμενοι, ἀλλὰ τῇ εἰκόνι καὶ τῷ χαρακτῆρι τοῦ πατρὸς ἀπηκριβωμένην ἐμφέρειαν κατὰ πάντα ἀνατιθέντες, τὸ δὲ ἀγέννητον τῷ πατρὶ μόνον ἰδίωμα παρεῖναι δοξάζοντες, ἅτε δὴ καὶ αὐτοῦ φάσκοντος τοῦ σωτῆρος· »ὁ πατήρ μου μείζων μού ἐστιν«.

53 Πρὸς δὲ τῇ εὐσεβεῖ ταύτῃ περὶ πατρὸς καὶ υἱοῦ δόξῃ, καθὼς ἡμᾶς αἱ θεῖαι γραφαὶ διδάσκουσιν, ἓν πνεῦμα ἅγιον ὁμολογοῦμεν, τὸ κινῆσαν τούς τε τῆς παλαιᾶς διαθήκης ἁγίους ἀνθρώπους καὶ τοὺς τῆς χρηματιζούσης καινῆς παιδευτὰς θείους· μίαν καὶ μόνην καθολικὴν τὴν ἀποστολικὴν ἐκκλησίαν, ἀκαθαίρετον μὲν ἀεὶ κἂν πᾶς ὁ κόσμος αὐτῇ πολεμεῖν βουλεύηται, νικηφόρον δὲ πάσης τῆς τῶν ἑτεροδόξων ἀσεβεστάτης ἐπαναστάσεως, εὐθαρσεῖς ἡμᾶς κατασκευάζοντος τοῦ οἰκοδεσπότου αὐτῆς διὰ τοῦ βοᾶν· »θαρσεῖτε, ἐγὼ
54 νενίκηκα τὸν κόσμον«. μετὰ τοῦτο τὴν ἐκ νεκρῶν ἀνάστασιν οἴδαμεν, ἧς ἀπαρχὴ γέγονεν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, σῶμα φορέσας ἀληθῶς καὶ οὐ δοκήσει ἐκ τῆς θεοτόκου Μαρίας »ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας«, ἐπιδημήσας τῷ γένει τῶν ἀνθρώπων, σταυρωθεὶς καὶ ἀποθανών, ἀλλ' οὐ διὰ ταῦτα τῆς ἑαυτοῦ θεότητος ἥττων γεγενημένος, ἀναστὰς ἐκ νεκρῶν, ἀναληφθεὶς ἐν οὐρανοῖς, καθήμενος »ἐν δεξιᾷ τῆς μεγαλωσύνης«.

55 Ταῦτα ἐκ μέρους ἐνεχάραξα τῇ ἐπιστολῇ, τὸ καθ' ἕκαστον ἐπ' ἀκριβείας γράφειν φορτικόν, ὡς ἔφην, εἶναι νομίσας, διὰ τὸ μηδὲ τὴν ἱερὰν ὑμῶν ταῦτα λεληθέναι σπουδήν. ταῦτα διδάσκομεν, ταῦτα κηρύττομεν, ταῦτα τῆς ἐκκλησίας τὰ ἀποστολικὰ δόγματα, ὑπὲρ ὧν καὶ ἀποθνήσκομεν, τῶν ἐξόμνυσθαι αὐτὰ βιαζομένων ἧττον πεφροντικότες,
56 εἰ καὶ διὰ βασάνων ἀναγκάζουσι, τὴν ἐν αὐτοῖς ἐλπίδα μὴ ἀποστρεφόμενοι. ὧν ἐναντίοι γενόμενοι οἱ ἀμφὶ τὸν Ἄρειον καὶ Ἀχιλλέα καὶ οἱ τῆς ἀληθείας σὺν αὐτοῖς πολέμιοι ἀπεώσθησαν τῆς ἐκκλησίας, ἀλλότριοι γενόμενοι τῆς εὐσεβοῦς ἡμῶν διδασκαλίας, κατὰ τὸν μακάριον Παῦλον λέγοντα· »εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω« κἂν ἄγγελος ἐξ οὐρανοῦ εἶναι προσποιῆται, ἀλλὰ καὶ »εἴ τις ἑτεροδιδασκαλεῖ καὶ

5 vgl. Kol. 1, 15. Hebr. 1, 3 7 Jh. 14, 28 8—28 siehe auch Urk. 15 9 vgl. Rm. 7, 6 13/14 Jh. 16, 33 14/15 I. Kor. 15, 20 15 zu οὐ δοκήσει vgl. Urk. 6 S. 12, 8; Urk. 7 S. 14, 9. Origenes de princ. I praef. 4 (10, 11): natus et passus est in veritate et non per phantasiam. Zu θεοτόκος vgl. Alexander frg. syr. VII. VIII. (Pitra, Anal. sacra IV 200), ferner Petrus Alex. frg. syr. I D (Pitra, Anal. sacra IV 188) und Pierius frg. in cod. Barocc. 142 (de Boor TU 5, 2 S. 171). Zu Origenes vgl. Sokr. VII 32, 17 (808, 8) 16 Hebr. 9, 26 18/19 Hebr. 1, 3 20f. vgl. oben S. 25, 8 27/28 Gal. 1, 9 28 vgl. Gal. 1, 8 28 bis S. 29, 2 I. Tim. 6, 3f.

Theod. (A n s z) Th. Syr. (L) = 14 μετὰ bis 18 γεγενημένος

5 τῷ > szTh. 6 μόνῳ Th. | παρεῖναι] εἶναι Lv Th. 8 τῇ εὐσεβεῖ δὲ ~ Th. 9 κινῆσαν] καινίσαν An 11 αὐτὴν Th. 12 βούληται Asz | δὲ > Asv Th. | τῆς > Th. 14 μετὰ τοῦτο τὴν ἐκ νεκρῶν Valois] μετὰ τοῦτο νεκρῶν Theod. (DL) μετὰ τὴν τῶν νεκρῶν Theod. (v) μετὰ τοῦτον ἐκ νεκρῶν Theod. (An.) Parm. μετὰ τούτων νεκρῶν Theod. (s) Th. μετὰ τούτων οἴδαμεν καὶ ἀνάστασιν νεκρῶν Syr., der überhaupt einige Abweichungen hat 22 κηρύσσομεν sz Th. | τὰ τῆς ἐκκλησίας ἀποστολικὰ δόγματα ~ Th. 24 ἀναγκάζωσι DG Th. 25 Ἀχιλλᾶς n V Th. 26 ἀπώσθησαν Th.

ܕܝܠܗ ܡܢ ܐܓܪܬܐ ܕܠܘܬ ܐܠܟܣܢܕܪܘܣ ܕܩܘܣܛܢܛܝܢܘܦܘܠܝܣ.

ܘܒܬܪ ܗܕܐ ܡܫܬܘܕܝܢܢ ܐܦ ܒܩܝܡܬܐ ܕܡܝ̈ܬܐ. ܗܝ ܕܪܫܝܬܗ̇ ܗܘܐ ܡܪܢ ܝܫܘܥ ܡܫܝܚܐ. ܕܠܒܫ
ܦܓܪܐ ܫܪܝܪܐܝܬ ܘܠܐ ܒܡܚܙܝܢܘܬܐ. ܒܚܪܬܐ ܕܥܠܡ̈ܐ ܟܕ ܐܬܐ ܠܓܢܣܐ ܕܒܢܝ̈ܢܫܐ. ܐܬܝܠܕ ܡܢ ܡܪܝܡ
ܝܠܕܬ ܐܠܗܐ. ܘܐܬܐ ܠܒܘܛܠܐ ܕܚܛܝ̈ܬܐ. ܘܐܙܕܩܦ ܘܡܝܬ. ܐܠܐ ܠܐ ܡܛܠ ܗܕܐ ܐܬܒܨܪ ܡܢ ܐܠܗܘܬܗ.

L: Pitra Anal. sacra IV 200 nr. IX

μὴ προσέρχεται τοῖς ὑγιαίνουσι λόγοις τοῖς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ, τετύφωται, μηδὲν ἐπιστάμενος« καὶ τὰ ἑξῆς.

Τούτους οὖν ἀναθεματισθέντας ἀπὸ τῆς ἀδελφότητος μηδεὶς ὑμῶν δεχέσθω μηδὲ 57
ἀνεχέσθω τῶν λεγομένων ἢ γραφομένων ὑπ' αὐτῶν· πάντα γὰρ οἱ γόητες ψεύδονται,
ἀλήθειαν οὐ μὴ λαλήσουσιν. περιέρχονται γὰρ τὰς πόλεις, οὐδὲν ἕτερον σπουδάζοντες 58
ἢ τῷ τῆς φιλίας προσχήματι καὶ τῷ τῆς εἰρήνης ὀνόματι δι' ὑποκρίσεως καὶ κολακείας γράμματα διδόναι καὶ λαμβάνειν, πρὸς τὸ πλανᾶν διὰ τούτων τὰ ὑπ' αὐτῶν ἠπατημένα ὀλίγα »γυναικάρια σεσωρευμένα ἁμαρτίαις« καὶ τὰ ἑξῆς.

Τούτους οὖν τοὺς τὰ τοσαῦτα κατὰ Χριστοῦ τολμήσαντας, τοὺς τὸν χριστιανισμὸν 59
τοῦτο μὲν δημοσίᾳ διασύραντας, τοῦτο δὲ ἐπὶ δικαστηρίων ἐπιδεικτιᾶν φιλοτιμουμένους, τοὺς διωγμὸν ἡμῖν ἐν εἰρήνῃ τὸ ὅσον ἐπ' αὐτοῖς ἐπεγείραντας, τοὺς τὸ ἄρρητον μυστήριον τῆς Χριστοῦ γεννήσεως ἐκνευρίσαντας, τούτους ἀποστρεφόμενοι, ἀγαπητοὶ καὶ ὁμόψυχοι ἀδελφοί, σύμψηφοι γένεσθε κατὰ τῆς μανιώδους αὐτῶν τόλμης, καθ' ὁμοιότητα τῶν ἀγανακτησάντων συλλειτουργῶν ἡμῶν καὶ ἐπιστειλάντων μοι κατ' αὐτῶν καὶ τῷ τόμῳ συνυπογραψάντων· ἃ καὶ διεπεμψάμην ὑμῖν διὰ τοῦ υἱοῦ μου Ἄπι τοῦ διακόνου, τοῦτο μὲν πάσης Αἰγύπτου καὶ Θηβαΐδος, τοῦτο δὲ Λιβύης τε καὶ Πενταπόλεως καὶ Συρίας καὶ ἔτι Λυκίας καὶ Παμφυλίας, Ἀσίας, Καππαδοκίας καὶ τῶν ἄλλων περιχώρων·
ὧν καθ' ὁμοιότητα καὶ παρ' ὑμῶν δέξασθαι πέποιθα. πολλῶν γάρ μοι βοηθημάτων 60
πρὸς τοὺς βλαβέντας πεπορισμένων, καὶ τοῦτο εὕρηται λυσιφάρμακον τοῦ ὑπ' αὐτῶν ἀπατηθέντος λαοῦ, πειθομένων καὶ ταῖς τῶν συλλειτουργῶν ἡμῶν συγκαταθέσεσιν, εἰς μετάνοιαν διὰ τούτου ἔρχεσθαι σπουδαζόντων. ἀσπάσασθε ἀλλήλους σὺν τῇ παρ' ὑμῶν ἀδελφότητι. ἐρρῶσθαι ὑμᾶς ἐν κυρίῳ εὔχομαι, ἀγαπητοί· ὀναίμην ὑμῶν τῆς φιλοχρίστου ψυχῆς.

Εἰσὶ δὲ οἱ ἀναθεματισθέντες αἱρεσιῶται, ἀπὸ πρεσβυτέρων μὲν Ἄρειος, Ἀχιλλεύς, Ἀειθαλῆς, Σαρμάτης, ⟨Καρπώνης,⟩ Ἄρειος ἕτερος, ἀπὸ διακόνων δὲ ⟨Γάϊος,⟩ Εὐζώϊος, Λούκιος, Ἰούλιος, Μηνᾶς, Ἑλλάδιος.

3f. vgl. oben S. 25, 8ff. 8 vgl. II. Tim. 3, 6 und S. 20, 14 14f. vgl. Soz. I 15, 9 24ff. Die folgenden Namen sind ein Anhang, der ursprünglich nicht zur Urkunde gehörte. Der Text ist verbessert nach dem Vorschlag Loeschckes Zeitschr. f. Kirchengesch. 31 (1910) 586.

Theod. (A n s z) Th.

1 τοῖς¹ > N Th. vgl. Tim. 4 ψεύδονται + καὶ Th. 7 καὶ > Th. | διὰ τούτου s Th. 9 τὰ > D Th. 11 τὸ ὅσον] τοσοῦτον An | ἐγείραντας Th. 12 γενέσεως AnGF | ἀποστραφέντες sz Th. 13 ἀδελφοί > n Th. 15 Ἄπι > Th. | Ἀπίωνος z | ἀρχιδιακόνου Th. 17 καὶ²] τε καὶ Th. | Ἀσίας + καὶ s Th. 24 Ἀχιλλᾶς n V Th. 25 Ἀειθαλᾶς n | Καρπώνης > Theod. Th. | Γάϊος > Theod. Th. 26 καὶ Ἑλλάδιος Th.

Urkunde 15.

Fragmente aus dem Tomos Alexanders von Alexandrien an alle Bischöfe.

(324)

ܕܐܠܟܣܢܕܪܘܣ ܕܐܠܟܣܢܕܪܝܐ

ܡܢ ܛܘܡܣܐ ܐܢܩܘܩܠܝܘܢ ܕܐܬܟܬܒ ܡܢ ܦܦܐ ܐܠܟܣܢܕܪܘܣ ܐܦܝܣܩܘܦܐ ܪܒܐ ܕܐܠܟܣܢܕܪܝܐ: ܥܠ ܗܝܡܢܘܬܐ ܬܪܝܨܬܐ. ܠܘܬ ܪ̈ܚܡܝ ܐܠܗܐ ܐܦܝܣܩܘܦܐ ܕܒܟܠܕܘܟ. ܠܗܘ ܕܐܦ ܚܬܡܘ ܗܘܘ ܪ̈ܚܡܝ ܐܠܗܐ ܐܦܝܣܩܘܦܐ. ܕܐܝܬܝܗܘܢ ܒܡܢܝܢܐ ܡܐܐ

M: Pitra Anal. sacra IV 196

(Übersetzung von E. Schwartz NGG 1905, 265)

Ἀλεξάνδρου Ἀλεξανδρείας

Ἐκ τοῦ ἐγκυκλίου τόμου τοῦ γεγραμμένου ὑπὸ τοῦ πάπα Ἀλεξάνδρου ἀρχιεπισκόπου Ἀλεξανδρείας περὶ τῆς ὀρθῆς πίστεως πρὸς τοὺς κατὰ πάντα τόπον θεοφιλεῖς ἐπισκόπους, ᾧ καὶ συνέθεντο οἱ θεο-

ܢܦܫܢ ܡܐܬܝܢ. ܟܕ ܐܪܘܚܒܗ ܐܝܟ ܕܚܕܐ ܐܝܬܝܗܝܢ. ܗܘ ܕܝܢ ܗܘ ܛܘܡܣܐ. ܒܩܕܡܝܬܐ ܡܢ ܐܬܟܬܒ ܠܘܩܒܠ ܪܘܫܥܐ ܕܐܪܝܘܣ ܘܕܐܝܠܝܢ ܕܥܡܗ ܡܪܕܘ. ܒܬܪܟܢ ܕܝܢ ܥܠ ܗܝܡܢܘܬܐ ܩܬܘܠܝܩܝ. ܕܐܝܟܢܐ ܘܠܐ ܠܟܠܗܘܢ ܠܡܐܚܕ. ܘܕܝܠܕܬ ܐܠܗܐ ܐܝܬܝܗ ܒܬܘܠܬܐ ܩܕܝܫܬܐ.

1 ܠܡܪܝ ܘܒܪ ܬܫܡܫܬܝ ܚܒܝܒ ܢܦܫܝ ܡܠܝܛܝܘܣ ܘܠܫܪܟܐ ܕܐܦܝܣܩܘܦܐ ܕܥܕܬܐ ܩܬܘܠܝܩܝ: ܐܠܟܣܢܕܪܘܣ ܒܐܠܗܐ ܫܠܡ.

ܘܒܬܪ ܫܘܪܝܐ.

2 ܘܥܡ ܗܝܡܢܘܬܐ ܬܪܝܨܬܐ ܕܥܠ ܐܒܐ ܘܒܪܐ. ܐܝܟ ܡܐ ܕܐܦ ܟܬܒ̈ܐ ܡܠܦܝܢ܆ ܚܕ ܪܘܚܐ ܕܩܘܕܫܐ ܡܘܕܝܢܢ. ܘܚܕܐ ܥܕܬܐ ܩܬܘܠܝܩܝ. ܘܩܝܡܬܐ ܕܡܝ̈ܬܐ. ܗܝ ܕܪܫܝܬܗ ܗܘܐ ܡܪܢ ܘܡܚܝܢܢ ܝܫܘܥ ܡܫܝܚܐ܆ ܟܕ ܦܓܪܐ ܠܒܫ ܡܢ ܝܠܕܬ ܐܠܗܐ ܡܪܝܡ܆ ܕܢܐܬܐ ܠܘܬ ܓܢܣܐ ܕܒܢܝ̈ܢܫܐ. ܟܕ ܡܝܬ܆ ܩܡ ܡܢ ܒܝܬ ܡܝ̈ܬܐ. ܘܐܣܬܠܩ ܠܫܡܝܐ. ܘܝܬܒ ܥܠ ܝܡܝܢܐ ܕܪܒܘܬܐ.

3 ܗܠܝܢ ܒܡܢܬܐ ܪܫܡܬ ܒܐܓܪܬܐ ܟܕ ܠܟܠ ܚܕܐ ܚܕܐ ܡܫܒܩܢܐ ܚܬܝܬܐܝܬ ܠܡܟܬܒ ܡܛܠ ܟܠ ܗܝ ܕܐܦܠܐ ܠܥܡܠܐ ܠܝܨܝܦܘܬܟܘܢ ܐܠܗܝܬܐ ܛܥܝܐ. ܗܠܝܢ ܡܠܦܝܢ. ܗܠܝܢ ܡܟܪܙܝܢ. ܗܠܝܢ ܐܝܟ ܫ̈ܠܝܚܝܐ ܡܠܦܢܘܬܐ ܕܥܕܬܐ. ܗܢܘܢ ܕܠܩܘܒܠܐ ܕܝܠܗܘܢ ܗܘܘ: ܗܠܝܢ ܕܥܡ ܐܪܝܘܣ ܘܐܟܝܠܠܐܣ. ܘܐܝܠܝܢ ܕܥܡܗܘܢ ܡܢ ܥܕܬܐ ܐܬܕܚܝܘ. ܕܢܘܟܪܝܢ ܡܠܦܝܢ ܠܡܠܦܢܘܬܐ ܕܝܠܢ ܬܪܝܨܬܐ. ܐܝܟ ܛܘܒܢܐ ܦܘܠܘܣ ܕܐܡܪ. ܕܐܢ ܐܢܫ ܡܣܒܪ ܠܟܘܢ ܠܒܪ ܡܢ ܡܐ ܕܩܒܠܬܘܢ. ܢܗܘܐ ܚܪܡ.

ܘܒܬܪ ܐܚܪ̈ܢܝܬܐ.

4 ܐܦ ܓܝܪ ܐܝܟ ܡܠܬܐ ܗܕܐ: ܘܗܝ ܕܒܪܫܝܬ ܐܝܬܘܗܝ ܗܘܐ ܡܠܬܐ ܟܦܪܝܢ܆ ܘܗܝ ܕܡܫܝܚܐ ܚܝܠܐ ܗܘ ܕܐܠܗܐ ܘܚܟܡܬܐ ܕܐܠܗܐ. ܐܘ ܕܡܠܬܐ ܐܝܬܘܗܝ ܘܚܟܡܬܐ ܕܐܒܐ ܠܐ ܡܠܦܝܢ. ܐܘ ܕܐܠܗܐ ܠܐ

M

---

11 ܡܚܝܢܢ M

φιλεῖς ἐπίσκοποι τὸν ἀριθμὸν ὄντες πλέον ἔλαττον διακόσιοι οὕτως κατέχειν ὑπογράψαντες. ὁ δὲ αὐτὸς τόμος ἐν πρώτοις μὲν ἐγράφη κατὰ τῆς ἀσεβείας τῆς Ἀρείου καὶ τῶν μετ' αὐτοῦ ἀποστατούντων, ἔπειτα δὲ περὶ τῆς καθολικῆς πίστεως καθὼς δεῖ πάντας κατέχειν καὶ ὅτι θεοτόκος ἐστὶν ἡ ἁγία παρθένος.

1 Τῷ δεσπότῃ καὶ συλλειτουργῷ μου ὁμοψύχῳ Μελιτίῳ καὶ τοῖς λοιποῖς ἐπισκόποις τῆς καθολικῆς ἐκκλησίας Ἀλέξανδρος ἐν θεῷ χαίρειν.

Καὶ μετὰ τὴν ἀρχήν·

2 καὶ πρὸς τῇ ὀρθῇ περὶ πατρὸς καὶ υἱοῦ πίστει, καθὼς ἡμᾶς αἱ γραφαὶ διδάσκουσιν, ἓν πνεῦμα ἅγιον ὁμολογοῦμεν καὶ μίαν ἐκκλησίαν καθολικὴν καὶ τὴν ἀνάστασιν νεκρῶν, ἧς ἀπαρχὴ γέγονεν ὁ κύριος καὶ σωτὴρ ἡμῶν Ἰησοῦς Χριστός, σῶμα ἐνδυσάμενος ἐκ τῆς θεοτόκου Μαρίας, ἵν' ἐπιδημήσῃ τῷ γένει τῶν ἀνθρώπων, ἀποθανών, ἀναστὰς ἐκ νεκρῶν καὶ ἀναληφθεὶς ἐν οὐρανοῖς, καθήμενος ἐν δεξιᾷ τῆς μεγαλοσύνης.

3 ταῦτα ἐκ μέρους ἐνεχάραξα τῇ ἐπιστολῇ τὸ καθ' ἕκαστον ἀκριβῶς γράφειν ἀφεὶς διὰ τὸ μηδὲ τὴν θείαν ὑμῶν ταῦτα λεληθέναι σπουδήν. ταῦτα διδάσκομεν, ταῦτα κηρύττομεν, ταῦτα τῆς ἐκκλησίας τὰ ἀποστολικὰ δόγματα· ὧν ἐναντίοι γενόμενοι οἱ ἀμφὶ τὸν Ἄρειον καὶ Ἀχιλλᾶν καὶ οἱ μετ' αὐτῶν ἀπεώσθησαν τῆς ἐκκλησίας, ἀλλότρια διδάσκοντες τῆς ὀρθῆς ἡμῶν διδασκαλίας, κατὰ τὸν μακάριον Παῦλον λέγοντα· »εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω«.

Καὶ μεθ' ἕτερα·

4 Καὶ γὰρ κατὰ τὸν λόγον τοῦτον τό τε »ἐν ἀρχῇ ἦν ὁ λόγος« ἀρνοῦνται καὶ τὸ Χριστὸς θεοῦ δύναμις καὶ θεοῦ σοφία ἢ λόγον εἶναι καὶ σοφίαν τοῦ πατρὸς μὴ διδάσκοντες

---

4 Gemeint ist Melitios von Sebastopolis 7-17 vgl. Urk. 14 S. 28, 8-28 11 Hebr. 1, 3 16/17 Gal. 1, 9 19—p. 31, 2 finden sich nicht in Urk. 14. 19 Jh. 1, 1 20 I. Kor. 1, 24

ܐܘܟܝ ܡܡܬܘܡ ܠܚܟܡܬܐ ܘܠܡܠܬܐ ܡܗܝܡܢܝܢ. ܗܠܝܢ ܕܝܢ ܐܦ ܠܡܬܪܥܝܘ. ܕܢܦܫܐ ܐܝܬܝܗܝ ܠܐ ܡܗܝܡܢܬܐ ܘܢܘܟܪܝܬܐ ܠܬܠܡܝܕܘܗܝ ܕܡܫܝܚܐ..

ܘܡܢ ܒܬܪ ܐܪܡܝܘ ܐܝܕܐ ܕܐܝܟ ܗܠܝܢ ܕܡܢ ܟܠܗ ܡܨܪܝܢ: ܘܬܒܐܝܣ ܘܠܘܒܐ: ܘܦܢܛܦܘܠܝܣ: ܘܗܠܝܢ ܕܐܬܪܘܬܐ ܥܠܝܬܐ: ܬܘܒ ܕܝܢ ܗܠܝܢ ܕܦܠܣܛܝܢܐ: ܘܕܐܪܒܝܐ ܘܕܐܟܐܝܐ: ܘܕܬܪܩܐ ܘܕܗܠܣܦܘܢܛܘܣ: ܘܕܐܣܝܐ ܘܕܩܪܝܐ: ܘܕܠܘܩܝܐ ܘܕܠܘܕܝܐ: ܘܕܦܪܘܓܝܐ ܘܕܦܡܦܘܠܝܐ: ܘܕܓܠܛܝܐ ܘܕܦܣܝܕܝܐ: ܘܕܦܘܢܛܘܣ: ܘܕܦܠܡܘܢܝܩܘܣ: ܘܕܩܦܕܘܩܝܐ ܘܕܐܪܡܢܝܐ: ܐܪܡܝ ܐܝܕܐ ܐܦ ܦܝܠܘܓܢܝܘܣ ܐܦܣܩܘܦܐ ܕܐܢܛܝܘܟܝܐ ܕܣܘܪܝܐ [ܘܟܠܗܘܢ ܕܡܕܢܚܐ ܪ̈ܚܡܝ ܐܠܗܐ ܐܦܣܩܘ̈ܦܐ ܕܡܝܣܘܦܘܛܡܝܐ: ܘܐܘܓܘܣܛܐ ܦܪܬܝܣܝܐ ܘܩܝܠܝܩܝܐ ܘܐܝܣܘܪܝܐ ܘܦܘܢܝܩܐ.]

ܦܝܠܘܓܢܝܘܣ ܐܦܣܩܘܦܐ ܕܥܕܬܐ ܩܬܘܠܝܩܝ ܕܐܢܛܝܘܟܝܐ. ܟܕ ܡܫܒܚ ܐܢܐ ܪܒܐܝܬ ܠܗܝܡܢܘܬܐ ܕܒܛܘܡܣܐ ܕܡܪܝ ܘܫܘܝ ܢܦܫܝ ܐܠܟܣܢܕܪܘܣ: ܘܡܫܠܡ ܐܢܐ ܠܗ ܘܠܫܘܡܠܝܐ ܕܬܓܡܐ ܩܕܝܫܐ ܕܫܘܝ̈ ܢܦܫܝ ܚܬܡܬ. ܐܦ ܐܢܐ ܘܟܠܗܘܢ ܗܠܝܢ ܕܒܡܕܢܚܐ ܕܟܬܝܒܝܢ ܡܢ ܠܥܠ.:

M

4 ܘܕܐܟܐܝܐ M 5 ܘܕܩܦܕܩܝܐ M

ἢ τὸν θεὸν οὔποτε γεννῆσαι σοφίαν καὶ λόγον πιστεύοντες· ἃ καὶ ἐννοῆσαι ἀπίστου ἂν εἴη ψυχῆς καὶ ἀλλοτρίας τῶν τοῦ Χριστοῦ μαθη⟨μά⟩των.

Καὶ μετὰ τὰς ὑπογραφὰς τὰς τῶν ἐκ πάσης τῆς Αἰγύπτου καὶ Θηβαΐδος καὶ Λιβύης καὶ Πενταπόλεως καὶ τῶν ἄνω τόπων, ἔτι δὲ τῶν ἐκ Παλαιστίνης καὶ Ἀραβίας καὶ Ἀχαΐας καὶ Θρᾴκης καὶ Ἑλλησπόντου καὶ Ἀσίας καὶ Καρίας καὶ Λυκίας καὶ Λυδίας καὶ Φρυγίας καὶ Παμφυλίας καὶ Γαλατίας καὶ Πισιδίας καὶ Πόντου καὶ Πολεμωνιακοῦ καὶ Καππαδοκίας καὶ Ἀρμενίας ὑπέγραψεν καὶ Φιλογόνιος ἐπίσκοπος Ἀντιοχείας τῆς Συρίας [καὶ πάντες οἱ τῆς Ἀνατολῆς θεοφιλεῖς ἐπίσκοποι τῆς Μεσοποταμίας καὶ Αὐγουστοευφρατησίας καὶ Κιλικίας καὶ Ἰσαυρίας καὶ Φοινίκης]·

Φιλογόνιος ἐπίσκοπος τῆς καθολικῆς ἐκκλησίας τῆς Ἀντιοχείας μεγάλα ἐπαινῶν τὴν πίστιν τὴν ἐν τῷ τόμῳ τοῦ δεσπότου καὶ ὁμοψύχου μου Ἀλεξάνδρου καὶ συντιθέμενος αὐτῇ καὶ τῇ ὁμολογίᾳ τοῦ ἁγίου τάγματος τῶν ὁμοψύχων, ὑπέγραψα καὶ πάντες οἱ ἐν τῇ Ἀνατολῇ τοῖς ἄνω γεγραμμένοις.

3 ff. vgl. Schwartz NGG 1905, 267

Urkunde 16.

Nachricht von einem Briefe Alexanders von Alexandrien an Silvester von Rom.

(Datum?)

Manent litterae Alexandri episcopi olim ad Silvestrum sanctae memoriae destinatae, quibus significavit ante ordinationem Athanasii undecim tam presbyteros quam etiam diaconos, quod Arii heresim sequerentur, ecclesia eiecisse. ex quibus nunc quidam extra ecclesiam catholicam foris positi dicuntur sibi conciliabula invenisse, quibus adseveratur etiam Georgius in Alexandria ⟨presbyter⟩ per litteras communicare.

Hilarius: CSEL 65, 91, 24

2 significant Mss. 3 ecclesia Feder] se ecclesia Codd. (UG) Schw. de ecclesia Codd. (Cm²) | Schwartz nimmt hinter eiecisse eine Lücke an. Der folgende Satz ist Zitat aus dem Briefe, das Praesens weist darauf hin 5 ⟨presbyter⟩ nach Vorschlag der Mauriner, da anscheinend vor 'per' ein 'pb̄r' oder 'prb̄r' ausgefallen ist

Urkunde 17.

Brief Kaiser Konstantins an Alexander von Alexandrien und Arius.

(Nikomedien, Okt. 324)

Νικητὴς Κωνσταντῖνος Μέγιστος Σεβαστὸς Ἀλεξάνδρῳ καὶ Ἀρείῳ.

1 Διπλῆν μοι γεγενῆσθαι πρόθεσιν τούτων, ὧν ἔργῳ τὴν χρείαν ὑπέστην, αὐτὸν ὡς
εἰκὸς τὸν τῶν ἐμῶν ἐγχειρημάτων βοηθὸν καὶ σωτῆρα ⟨τὸν⟩ τῶν ὅλων θεὸν ποιοῦμαι
μάρτυρα. πρῶτον μὲν γὰρ τὴν ἁπάντων τῶν ἐθνῶν περὶ τὸ θεῖον προαίρεσιν εἰς μίαν
ἕξεως σύστασιν ἑνῶσαι, δεύτερον δὲ τὸ τῆς κοινῆς οἰκουμένης σῶμα καθάπερ χαλεπῷ
τινι τραύματι πεπονηκὸς ἀνακτήσασθαι καὶ συναρμόσαι προὐθυμήθην. ἃ δὴ προσκο-
πῶν ἕτερον μὲν ἀπορρήτῳ τῆς διανοίας ὀφθαλμῷ συνελογιζόμην ἕτερον δὲ τῇ τῆς στρατι-
ωτικῆς χειρὸς ἐξουσίᾳ κατορθοῦν ἐπειρώμην, εἰδὼς ὡς, εἰ κοινὴν ἅπασι τοῖς τοῦ θεοῦ
θεράπουσιν ἐπ' εὐχαῖς ταῖς ἐμαῖς ὁμόνοιαν καταστήσαιμι, καὶ ἡ τῶν δημοσίων πραγμάτων
χρεία σύνδρομον ταῖς ἁπάντων εὐσεβέσι γνώμαις τὴν μεταβολὴν καρπώσεται.
2 Μανίας γὰρ δήπουθεν οὐκ ἀνεκτῆς ἅπασαν τὴν Ἀφρικὴν ἐπιλαβούσης διὰ τοὺς
ἀβούλῳ κουφότητι τὴν τῶν δήμων θρησκείαν εἰς διαφόρους αἱρέσεις σχίσαι τετολμηκότας,
ταύτην ἐγὼ νόσον καταστεῖλαι βουληθείς, οὐδεμίαν ἑτέραν ἀρκοῦσαν τῷ πράγματι
θεραπείαν ηὕρισκον ἢ εἰ τὸν κοινὸν τῆς οἰκουμένης ἐχθρὸν ἐξελών, ὃς ταῖς ἱεραῖς ὑμῶν
συνόδοις τὴν ἀθέμιτον ἑαυτοῦ γνώμην ἀντέστησεν, ἐνίους ὑμῶν πρὸς τὴν τῶν πρὸς ἀλλή-
λους διχονοούντων ὁμόνοιαν βοηθοὺς ἀποστείλαιμι.
3 Ἐπειδὴ γὰρ ἡ τοῦ φωτὸς δύναμις καὶ ὁ τῆς ἱερᾶς θρησκείας νόμος ὑπὸ τῆς τοῦ
κρείττονος εὐεργεσίας οἷον ἔκ τινων τῆς ἀνατολῆς κόλπων ἐκδοθεὶς ἅπασαν ὁμοῦ τὴν
οἰκουμένην ἱερῷ λαμπτῆρι κατήστραψεν, εἰκότως ὑμᾶς, ὥσπερ τινὰς ἀρχηγοὺς τῆς τῶν
ἐθνῶν σωτηρίας ὑπάρξειν πιστεύων, ὁμοῦ καὶ ψυχῆς νεύματι καὶ ὀφθαλμῶν ἐνεργείᾳ
ζητεῖν ἐπειρώμην. ἅμα γοῦν τῇ μεγάλῃ νίκῃ καὶ τῇ κατὰ τῶν ἐχθρῶν ἀληθεῖ θριαμ-
βείᾳ τοῦτο πρῶτον εἱλόμην ἐρευνᾶν, ὃ δὴ πρῶτόν μοι καὶ τιμιώτατον ἁπάντων ὑπάρ-
χειν ἡγούμην.
4 Ἀλλ' ὢ καλλίστη καὶ θεία πρόνοια, οἷόν μου τῆς ἀκοῆς μᾶλλον δὲ τῆς καρδίας
αὐτῆς τραῦμα καίριον ἥψατο, πολλῷ χαλεπωτέραν τῶν ἐκεῖ καταλειφθέντων τὴν ἐν
ὑμῖν γιγνομένην διχοστασίαν σημαῖνον, ὡς πλείονος ἤδη τὰ καθ' ὑμᾶς μέρη θεραπείας
δεῖσθαι, παρ' ὧν τοῖς ἄλλοις τὴν ἴασιν ὑπάρξειν ἤλπισα. διαλογιζομένῳ δή μοι τὴν
ἀρχὴν καὶ τὴν ὑπόθεσιν τούτων ἄγαν εὐτελὴς καὶ οὐδαμῶς ἀξία τῆς τοιαύτης φιλονει-
κίας ἡ πρόφασις ἐφωράθη. διόπερ ἐπὶ τὴν τῆς ἐπιστολῆς ταύτης ἀνάγκην ἐπειχθεὶς καὶ
πρὸς τὴν ὁμόψυχον ὑμῶν ἀγχίνοιαν γράφων τήν τε θείαν πρόνοιαν καλέσας ἀρωγὸν
τῷ πράγματι μέσον τῆς πρὸς ἀλλήλους ὑμῶν ἀμφισβητήσεως οἷον εἰρήνης πρύτανιν
5 ἐμαυτὸν εἰκότως προσάγω. ὅπερ γὰρ δὴ συναιρομένου τοῦ κρείττονος, εἰ καὶ μείζων
ἦν τις ἀφορμὴ διχονοίας, οὐ χαλεπῶς ἂν ἠδυνήθην ὁσίαις τῶν ἀκουόντων γνώμαις
ἐγχειρίζων τὸν λόγον εἰς τὸ χρησιμώτερον ἕκαστον μεταστῆσαι, τοῦτο, μικρᾶς καὶ λίαν
εὐτελοῦς ἀφορμῆς ὑπαρχούσης, ἣ πρὸς τὸ ὅλον ἐμποδὼν ἵσταται, πῶς οὐκ εὐχερεστέραν
καὶ πολλῷ ῥᾳδιωτέραν μοι τοῦ πράγματος τὴν ἐπανόρθωσιν μνηστεύσει;

---

13 Zu *νόσον* vgl. den Brief des Kaisers Claudius an die Alexandriner Papyr. gr. Brit. Mus. 1912 Z. 100, bei H. J. Bell, Jews and Christians in Egypt. London 1924 S. 25   14 der κοινὸς τῆς οἰκουμένης ἐχθρός ist Maxentius. Nach dem Siege über ihn griff Konstantin in die durch die Donatisten hervorgerufenen Wirren in Afrika (Z. 11) ein. Der Kaiser setzt die damaligen Vorgänge mit den augenblicklichen in Beziehung. Jetzt ist der „Feind der Oikumene" Licinius, und Ossius der Vermittler

---

Euseb vita Const. II 64 (V I MBA)

---

2 πρόθεσιν Val. πρόφασιν Hss.   3 ⟨τὸν⟩ Hkl.   4 προαίρεσιν Schw. gut Griechisch aus praepositum] πρόθεσιν Hss. διάθεσιν Val. Hkl. | εἰς Schw.] ὡς Hss. πρὸς Val. Hkl.   11 διὰ Val. Hkl. καὶ διὰ Hss.

Μανθάνω τοίνυν ἐκεῖθεν ὑπῆρχθαι τοῦ παρόντος ζητήματος τὴν καταβολήν. 6
ὅτε γὰρ σύ, ὦ Ἀλέξανδρε, παρὰ τῶν πρεσβυτέρων ἐζήτεις, τί δήποτε αὐτῶν ἕκαστος
ὑπέρ τινος τόπου τῶν ἐν τῷ νόμῳ γεγραμμένων, μᾶλλον δ' ὑπὲρ ματαίου τινὸς ζητήσεως
μέρους ᾐσθάνετο, σύ τε ὦ Ἄρειε, τοῦθ' ὅπερ ἢ μηδ' ἀρχὴν ἐνθυμηθῆναι ἢ ἐνθυμηθέντα
σιωπῇ παραδοῦναι προσῆκον ἦν, ἀπροόπτως ἀντέθηκας. ὅθεν τῆς ἐν ὑμῖν διχονοίας
ἐγερθείσης ἡ μὲν σύνοδος ἠρνήθη, ὁ δὲ ἁγιώτατος λαὸς εἰς ἀμφοτέρους σχισθεὶς ἐκ τῆς
τοῦ κοινοῦ σώματος ἁρμονίας ἐχωρίσθη. οὐκοῦν ἑκάτερος ὑμῶν ἐξ ἴσου τὴν συγγνώμην 7
παρασχών, ὅπερ ἂν ὑμῖν ὁ συνθεράπων ὑμῶν δικαίως παραινεῖ, δεξάσθω. τί δὲ τοῦτό
ἐστιν; οὔτε ἐρωτᾶν ὑπὲρ τῶν τοιούτων ἐξ ἀρχῆς προσῆκον ἦν οὔτε ἐρωτώμενον ἀπο-
κρίνεσθαι. τὰς γὰρ τοιαύτας ζητήσεις, ὁπόσας μὴ νόμου τινὸς ἀνάγκη προστάττει, ἀλλ' 8
ἀνωφελοῦς ἀργίας ἐρεσχελία προτίθησιν, εἰ καὶ φιλοσοφικῆς τινος γυμνασίας ἕνεκα
γίγνοιτο, ὅμως ὀφείλομεν εἴσω τῆς διανοίας ἐγκλείειν καὶ μὴ προχείρως εἰς δημοσίας
συνόδους ἐκφέρειν, μηδὲ ταῖς τῶν δήμων ἀκοαῖς ἀπρονοήτως πιστεύειν. πόσος γάρ
ἐστιν ἕκαστος, ὡς πραγμάτων οὕτω μεγάλων καὶ λίαν δυσχερῶν δύναμιν ἢ πρὸς τὸ ἀκριβὲς
συνιδεῖν ἢ κατ' ἀξίαν ἑρμηνεῦσαι; εἰ δὲ καὶ τοῦτό τις εὐχερῶς ποιεῖν νομισθείη, πόσον
δήπου μέρος τοῦ δήμου πείσει; ἢ τίς ταῖς τῶν τοιούτων ζητημάτων ἀκριβείαις ἔξω τῆς
ἐπικινδύνου παρολισθήσεως ⟨ἂν⟩ ἀντισταίη; οὐκοῦν ἐφεκτέον ἐστὶν ἐν τοῖς τοιούτοις
τὴν πολυλογίαν, ἵνα μήπως ἢ ἡμῶν ἀσθενείᾳ φύσεως τὸ προταθὲν ἑρμηνεῦσαι μὴ δυνη-
θέντων ἢ τῶν ἀκροατῶν βραδυτέρᾳ συνέσει πρὸς ἀκριβῆ τοῦ ῥηθέντος κατάληψιν ἐλθεῖν
μὴ χωρησάντων ἐξ ὁποτέρου τούτων ἢ βλασφημίας ἢ σχίσματος εἰς ἀνάγκην ὁ δῆμος
περισταίη.

---

3 Die Schriftstelle ist Prov. 8, 22—31. vgl. Urk. 8. S. 16, 11—12 Epiph. haer. 69, 12, 1 (III 162, 4ff.) 10ff. vgl. Ignatius v. Selymbria, Vita Constantini bei Johannes Theophilos, Mnemeia hagiologika, Venedig 1884, S. 200

Eus. (V I MBA) [von Z. 1 an ferner:] Sokr. I 7, 16 (MA FHC G) Gel. II 4 (a b c) [15 εἰ δὲ bis 17 ἀντισταίη > Gel.] Th. Im Regest bei Soz. I 16, 2—3

---

1 τοίνυν > Sokr. Gel. Th. | παρόντος Sokr. M[c] παντὸς M 2 ὅτε γὰρ σύ] ὅταν γὰρ σύ Sokr. (MFHCG) ὅτε σὺ αὐτὸς ὦ πάτερ Ἀλ. Gel. | ἐζήτεις παρὰ τῶν πρεσβυτέρων (+ μαθεῖν M[c]) ~ Sokr. | δήποτε + νοεῖ Sokr. (M[c]) | ἕκαστος αὐτῶν ~ Sokr. | ἕκαστος + φρονεῖ Gel. Th. 3 ζητήματος Sokr. Gel. Th. (τινὸς a. Rd.) | ὑπέρ τινος ματαίου ζητήματος ~ Sokr. 4 μέρος Th. | ᾐσθάνετο] πυνθάνετο Eus. (M) Sokr. (M: -οιο, ob aus -ετο?) πυνθάνοιτο Gel. πυνθάνοιο Eus. (A) Sokr. ἐπυνθάνου Th. ποῦ θάνατος ὡς Eus. (B) | ᾐσθάνετο + ὡς Eus. (V I) | τοῦθ' > Sokr. Gel. Th. | μηδ' ἀρχὴν] μήτε (μηδὲ Eus. IB) τὴν ἀρχὴν Eus. (IMBA) Sokr. Gel. Th. | ἐνθυμηθῆναί + σε (> c) ἔδει Gel. 5 ἐντέθηκας Eus. (M) ἐντέθεικας Eus. (BA) Sokr. | Nach ἐντέθεικας Rasur von etwa 4 Buchstaben; da ὅθεν fehlt, wird wohl dies Wort ausgefallen sein Sokr. (M) | ὑμῖν] ἡμῖν Sokr. (MHC) 7 συγγνώμην] γνώμην Sokr. Gel. Th. vgl. S. 53, 11; Ver. 53, 9 8 ὑμῖν > Sokr. (MFHCG) | παραινῇ Eus. (IA η auf Ras. I) Sokr. (MAFHC) | δέξασθε Sokr. (MAFHC) δέξασθαι Sokr. (G) Th. 9 τῶν > Eus. (V) Th. | τοιούτων] > Sokr. (A) τούτων Th. | ἐξ — ἦν > Th. | ἐπερωτώμενον Sokr. (A) Gel. Th. 9/10 ἀποκρίνασθαι Eus. (IMB) Sokr. Gel. Th. 10 ὁπόσας] ἁπάσας ἃς Th. πάσας Gel. | μὴ] οὐ Sokr. Gel. 11 ἐρεσχελίας Eus. (V) Sokr. (M[c] u. ἀργία///) | προστίθησιν Eus. (V) Sokr. (AFHCG) Gel. (a) Th. | φιλοσοφικῆς Eus. (Val.) φυσικῆς Eus. (Hss.) 11/12 γίνοιτο ἕνεκα Sokr. 12 γίγνοιντο Th. 13 τῶν δήμων] πάντων Sokr. Gel. Th. 14 ὡς + τε Sokr. Th. 15 τις ποιεῖν εὐχερῶς ~ Th. ποιεῖν τις εὐχερῶς ~ Sokr. 16 δήπου > Sokr. Th. | ἢ τίς + ὁ Eus. (M) Sokr. | ἢ τίς] οὐ Eus. (V I) | ταῖς bis 17 ἐπικινδύνου] τῆς τῶν τοιούτων ζητημάτων ἀκριβείας ἐξεταστὴς ἐπὶ κινδύνου Sokr. (A) | ζητημάτων > Sokr. (MFHCG) 17 ⟨ἂν⟩ Eus. (Hkl.) | ἐφεκτέον] φευκτέον Gel. | ἐστὶν > Sokr. Gel. Th. 18 ἢ > Gel. | ἡ ἡμῶν ἀσθένεια Eus. (VM) Sokr. Th. | τῆς φύσεως Sokr. Gel. Th. | προτεθὲν Sokr. Gel. Th. 19 ἢ (+ τῇ I) τῶν — συνέσει Eus. (VBI)] ἢ (> Gel. Th.) ἡ (> Sokr. A Gel. P3) τῶν — σύνεσις Eus. (MA) Sokr. Gel. Th. | τῶν + διδασκομένων Sokr. Gel. Th. 20 χωρησάντων + αὖθις Sokr. Th. | χωρήσασα αὖθις Gel. | ἐξ ἑκατέρου Sokr. Gel. Th.

9 Διόπερ καὶ ἐρώτησις ἀπροφύλακτος καὶ ἀπόκρισις ἀπρονόητος ἴσην ἀλλήλαις
ἀντιδότωσαν ἐφ' ἑκάτερα συγγνώμην. οὐδὲ γὰρ ὑπὲρ τοῦ κορυφαίου τῶν ἐν τῷ νόμῳ
παραγγελμάτων ὑμῖν ἡ τῆς φιλονεικίας ἐξήφθη πρόφασις οὐδὲ καινή τις ὑμῖν ὑπὲρ τῆς
τοῦ θεοῦ θρησκείας αἵρεσις ἀντεισήχθη, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν ἔχετε λογισμόν, ὡς πρὸς
τὸ τῆς κοινωνίας σύνθημα δύνασθαι συνελθεῖν. ὑμῶν γὰρ ἐν ἀλλήλοις ὑπὲρ μικρῶν καὶ
λίαν ἐλαχίστων φιλονεικούντων τοσοῦτον τοῦ θεοῦ λαόν, ὃν ὑπὸ ταῖς ὑμετέραις εὐχαῖς
καὶ φρεσὶν εὐθηνεῖσθαι προσήκει, διχονοεῖν οὔτε πρέπον οὐθ' ὅλως θεμιτὸν εἶναι πιστεύ-
10 εται. ἵνα δὲ μικρῷ παραδείγματι τὴν ὑμετέραν σύνεσιν ὑπομνήσαιμι, ἴστε δήπου
καὶ τοὺς φιλοσόφους αὐτοὺς ὡς ἑνὶ μὲν ἅπαντες δόγματι συντίθενται, πολλάκις δὲ ἐπειδὰν
ἔν τινι τῶν ἀποφάσεων μέρει διαφωνῶσιν, εἰ καὶ τῇ τῆς ἐπιστήμης ἀρετῇ χωρίζονται,
τῇ μέντοι τοῦ δόγματος ἑνώσει πάλιν εἰς ἀλλήλους συμπνέουσιν. εἰ δὴ τοῦτό ἐστι, πῶς
οὐ πολλῷ δικαιότερον ὑμᾶς τοὺς τοῦ μεγάλου θεοῦ θεράποντας καθεστῶτας ἐν τοιαύτῃ
προαιρέσει θρησκείας ὁμοψύχους ἀλλήλοις εἶναι; ἐπισκεψώμεθα δὴ λογισμῷ μείζονι καὶ
πλείονι συνέσει τὸ ῥηθέν, εἴπερ ὀρθῶς ἔχει δι' ὀλίγας καὶ ματαίας ῥημάτων ἐν ὑμῖν φιλονει-
κίας ἀδελφοὺς ἀδελφοῖς ἀντικεῖσθαι καὶ τὸ τῆς συνόδου τίμιον ἀσεβεῖ διχονοίᾳ χωρίζεσθαι
δι' ὑμῶν, οἳ πρὸς ἀλλήλους ὑπὲρ μικρῶν οὕτω καὶ μηδαμῶς ἀναγκαίων φιλονεικεῖτε.
δημώδη ταῦτά ἐστι καὶ παιδικαῖς ἀνοίαις ἁρμόττοντα μᾶλλον ἢ τῇ τῶν ἱερέων καὶ φρο-
11 νίμων ἀνδρῶν συνέσει προσήκοντα. ἀποστῶμεν ἑκόντες τῶν διαβολικῶν πειρασμῶν.
ὁ μέγας ἡμῶν θεός, ὁ σωτὴρ ἁπάντων, κοινὸν ἅπασι τὸ φῶς ἐξέτεινεν· ὑφ' οὗ τῇ προ-
νοίᾳ ταύτην ἐμοὶ τῷ θεραπευτῇ τοῦ κρείττονος τὴν σπουδὴν εἰς τέλος ἐνεγκεῖν συγ-
χωρήσατε, ὅπως ὑμᾶς τοὺς ἐκείνου δήμους ἐμῇ προσφωνήσει καὶ ὑπηρεσίᾳ καὶ νου-
12 θεσίας ἐνστάσει πρὸς τὴν τῆς συνόδου κοινωνίαν ἐπαναγάγοιμι. ἐπειδὴ γάρ, ὡς
ἔφην, μία τίς ἐστιν ἐν ὑμῖν πίστις καὶ μία τῆς καθ' ὑμᾶς αἱρέσεως σύνεσις τό τε τοῦ νόμου
παράγγελμα τοῖς δυσὶν αὐτοῦ μέρεσιν εἰς μίαν ψυχῆς πρόθεσιν τὸ ὅλον συγκλείει, τοῦτο
ὅπερ ὀλίγην ἐν ὑμῖν ἀλλήλοις φιλονεικίαν ἤγειρεν, ἐπειδὴ μὴ πρὸς τὴν τοῦ παντὸς

Eus. (V I MBA) Sokr. (MA FHC G) Gel. (a b c) [Die Abschnitte: 1 διόπερ bis 7 προσήκει; 16 οἳ bis 18 προσήκοντα; 22 ἐπειδὴ bis S. 35, 6 πολιτεύεται fehlen bei Gel.] Th.

---

1 ἀπρονόητος + ταῖς νῦν ἐπιπολαζούσαις αἱρέσεσιν ἀρειανῶν εὐνομιανῶν (ἀρ. εὐν. > H, gestrichen C) καὶ ὅσοι (+ ἄλλοι M^c) τὴν Sokr. (aber in A a. Rd. von 1. Hd.) 2 ἀντιδιδότωσαν Th. ἐπιδιδότωσαν Sokr. | ἐφ' ἑκατέρῳ Eus. (IMBA) Sokr. (MAFG) Th. ἐφ' ἑκατέρων Sokr. (HC) | συγγνώμην] γνώμην Eus. (V) | ὑπὲρ] περὶ Eus. (IBMA) ὑπὸ Th. 3 ἡ τῆς φιλονεικίας > Sokr. 4 ἔχετε] ἔχητε Sokr. (A) ἔχεται Th. | ὡς bis 5 συνελθεῖν] ὥσπερ τὸ τῆς κοινωνίας σύνθημα Sokr. Th. 6 Den Text von Z. 6 τοσοῦτον bis Z. 7 οὔτε hat Th. Valois liest ebenso. Doch dafür: τοσοῦτον τοῦ θεοῦ λαὸν ὃν ὑπὸ ταῖς ὑμετέραις φρεσὶν εὐθύνεσθαι προσήκει διχονοεῖν (+ ἀλλ' I) οὔτε Eus. (V I) τοσοῦτον τὸν (> Sokr. MF) τοῦ θεοῦ λαὸν (+ ὃν ὑπὸ Eus. B.) ταῖς ὑμετέραις (ἡμετέραις Sokr. HC) ἰθύνεσθαι φρεσὶν οὐ προσήκει διὰ τὸ διχονοεῖν· ἀλλ' οὔτε Eus. (MBA) Sokr. | τὸ γὰρ διχονοεῖν Gel. 8 ἡμετέραν Sokr. (HC) Gel. (M^2P^1) | ὑπομνήσαιμι + λέξω Eus. (MBA) ὑπομνήσω λέξω Sokr. | δήπου] δὴ Sokr. 9 ἐν ἑνὶ Gel. | ἐπειδὰν > Sokr. 10 διαφωνοῦσιν Sokr. | χωρίζονται] διαφωνοῦσι Sokr. (M ?FG) συμφωνοῦσι Eus. (I) Sokr. (M^cHC) διασυμφωνοῦσι Sokr. (A) 11 δόγματος] σώματος Sokr. Gel. (A^2b) Th. | ἐμπνέουσιν Gel. (bc Loe.) | δὴ] δὲ Eus. (I) Sokr. Gel. Th. 11/12 πῶς οὐ] πόσῳ Th. 12 ὑμᾶς] ἡμᾶς Eus. | θεοῦ μεγάλου ~ Th. | τοιαύτῃ > Th. 13 ὁμοψήφους Gel. (aV^1c) Th. | ἀλλήλους Eus. (V) Gel. (V^1) εἰς ἀλλήλους Eus. (I) | δὴ] δὲ Sokr. 14 ῥηθὲν + ἐνθυμηθῶμεν Sokr. Gel. Th. | ματαίων Gel. 15 ἀντικεῖσθαι + καὶ τέκνα πατράσι Gel. 16 ὑμῶν vgl. 14] ἡμῶν Eus. (V) ὑμῶν (η übergeschrieben) Sokr. (G 1. Hd. ?) | φιλονεικεῖτε Sokr. (M^c) vgl. 6] φιλονεικοῦμεν Eus. Sokr. Th. 17 f. ἱερέων ἀνδρῶν καὶ φρονίμων ~ Th. 18 συνέσει > Sokr. (aber von M^c a. Rd. vor ἀνδρῶν nachgetragen) 19 ὁ² > Sokr. (MFHCG) καὶ Sokr. (M^c) | ὑφ'] ἐφ' Sokr. Gel. (aP^3) 21 ὑμᾶς τοὺς Gel. Sokr. Th.] δι' ὑμῶν Eus. (I) Sokr. (M^c) αὐτοὺς τοὺς Eus. (MBA) ἂν τοὺς Eus. (V) Hkl. | προφωνήσει Gel. (aV^1c) 22 συνόδου + ἁγίαν Gel. | ἐπανάγοιμι Eus. (IMBA) Sokr. ἐπαγάγοιμι Gel. 23 πίστις ἐν ὑμῖν ~ Sokr. | ὑμῖν] ἡμῖν Eus. (V) Hkl. | ὑμᾶς] ἡμᾶς Eus. 24 δυσὶν αὐτοῦ Eus. (Val.)] δι' (δὲ Sokr. A) ἑαυτοῦ Eus. (Hss.) Sokr. αὐτοῦ Th. | μίαν] μιᾶς Th. | συγκλείει] συντείνει Th. | τοῦτο + οὖν Eus. (V) | ὀλίγην ἐν ὑμῖν] ὑμῖν ἐν Eus. (I) Sokr. Th.

νόμου δύναμιν ἀνήκει, χωρισμόν τινα καὶ στάσιν ὑμῖν μηδαμῶς ἐμποιείτω. καὶ 13
λέγω ταῦτα οὐχ ὡς ἀναγκάζων ὑμᾶς ἐξ ἅπαντος τῇ λίαν εὐήθει, καὶ οἵα δήποτέ ἐστιν
ἐκείνη, ζητήσει συντίθεσθαι. δύναται γὰρ καὶ τὸ τῆς συνόδου τίμιον ὑμῖν ἀκεραίως
σώζεσθαι καὶ μία καὶ ἡ αὐτὴ κατὰ πάντων κοινωνία τηρεῖσθαι, κἂν τὰ μάλιστά τις ἐν
μέρει πρὸς ἀλλήλους ὑμῖν ὑπὲρ ἐλαχίστου διαφωνία γένηται, ἐπειδὴ μηδὲ πάντες ἐν
ἅπασι ταὐτὸν βουλόμεθα, μηδὲ μία τις ἐν ἡμῖν φύσις ἢ γνώμη πολιτεύεται. περὶ μὲν 14
οὖν τῆς θείας προνοίας μία τις ἐν ὑμῖν ἔστω πίστις, μία σύνεσις, μία συνθήκη τοῦ κρείτ-
τονος, ἃ δ' ὑπὲρ τῶν ἐλαχίστων τούτων ζητήσεων ἐν ἀλλήλοις ἀκριβολογεῖσθε, κἂν μὴ
πρὸς μίαν γνώμην συμφέρησθε, μένειν εἴσω λογισμοῦ προσήκει τῷ τῆς διανοίας ἀπορ-
ρήτῳ τηρούμενα. τὸ μέντοι τῆς κοινῆς φιλίας ἐξαίρετον καὶ ἡ τῆς ἀληθείας πίστις ἥ τε
περὶ τὸν θεὸν καὶ τὴν τοῦ νόμου θρησκείαν τιμὴ μενέτω παρ' ὑμῖν ἀσάλευτος· ἐπανέλθετε
δὴ πρὸς τὴν ἀλλήλων φιλίαν τε καὶ χάριν, ἀπόδοτε τῷ λαῷ σύμπαντι τὰς οἰκείας περι-
πλοκάς, ὑμεῖς τε αὐτοὶ καθάπερ τὰς ἑαυτῶν ψυχὰς ἐκκαθάραντες αὖθις ἀλλήλους ἐπί-
γνωτε. ἡδίων γὰρ πολλάκις φιλία γίνεται μετὰ τὴν τῆς ἔχθρας ἀπόθεσιν αὖθις εἰς κατ-
αλλαγὴν ἐπανελθοῦσα.

Ἀπόδοτε οὖν μοι γαληνὰς μὲν ἡμέρας, νύκτας δ' ἀμερίμνους, ἵνα κἀμοί τις ἡδονὴ 15
καθαροῦ φωτὸς καὶ βίου λοιπὸν ἡσύχου εὐφροσύνη σῴζηται. εἰ δὲ μή, στένειν ἀνάγκη
καὶ δακρύοις δι' ὅλου συγχεῖσθαι καὶ μηδὲ τὸν τοῦ ζῆν αἰῶνα πράως ὑφίστασθαι. τῶν
γάρ τοι τοῦ θεοῦ λαῶν, τῶν συνθεραπόντων λέγω τῶν ἐμῶν, οὕτως ἀδίκῳ καὶ βλαβερᾷ
πρὸς ἀλλήλους φιλονεικίᾳ κεχωρισμένων, ἐμὲ πῶς ἐγχωρεῖ τῷ λογισμῷ συνεστάναι
λοιπόν; ἵνα δὲ τῆς ἐπὶ τούτῳ λύπης τὴν ὑπερβολὴν αἴσθησθε, πρώην ἐπιστὰς τῇ Νικο-
μηδέων πόλει παραχρῆμα πρὸς τὴν ἑῴαν ἠπειγόμην τῇ γνώμῃ. σπεύδοντι δή μοι ἤδη
πρὸς ὑμᾶς καὶ τῷ πλείονι μέρει σὺν ὑμῖν ὄντι ἡ τοῦδε τοῦ πράγματος ἀγγελία πρὸς τὸ
ἔμπαλιν τὸν λογισμὸν ἀνεχαίτισεν, ἵνα μὴ τοῖς ὀφθαλμοῖς ὁρᾶν ἀναγκασθείην, ἃ μηδὲ
ταῖς ἀκοαῖς προσέσθαι δυνατὸν ἡγούμην. ἀνοίξατε δή μοι λοιπὸν ἐν τῇ καθ' ὑμᾶς ὁμονοίᾳ
τῆς ἑῴας τὴν ὁδόν, ἣν ταῖς πρὸς ἀλλήλους φιλονεικίαις ἀπεκλείσατε καὶ συγχωρήσατε
θᾶττον ὑμᾶς τε ὁμοῦ καὶ τοὺς ἄλλους ἅπαντας δήμους ἐπιδεῖν χαίροντα καὶ τὴν ὑπὲρ
τῆς κοινῆς ἁπάντων ὁμονοίας καὶ ἐλευθερίας ὀφειλομένην χάριν ἐπ' εὐφήμοις λόγων
συνθήμασιν ὁμολογῆσαι τῷ κρείττονι.

16ff. Vgl. Ignatius v. Selymbria a. a. O. S. 200f. 21ff. Konstantin zog nach der Schlacht von Chrysopolis (18. September 324) in Licinius' Hauptstadt Nikomedien ein. Dieser Brief ist aber (vgl. S. 32, 21 f.) sofort nach dem Siege über Licinius geschrieben worden, also in Nikomedien verfaßt. Seeck (Regesten 152,7) datiert ihn „Ende Sept. oder Anf. Okt."

Eus. (V I MBA) Sokr. (MA FHC G) Gel. (a b c) Th.

---

1 νόμου > Eus. (IMBA) Sokr. (HC) | ὑμῖν] ἐν ὑμῖν Eus. (MBA) Sokr. Th. 3 ζητήσει] ἡ ζήτησις Eus. (VMBA) Th. | ἀκέραιον Sokr. Th. (Sokr. M?) 4 σώζεσθαι] φυλάττεσθαι Sokr. | καὶ μία > Sokr. 5 ὑμῖν > Sokr. | ἐπειδὴ] ἐπεὶ Sokr. Th. 6 ἡμῖν] ὑμῖν Eus. (IMBA) Sokr. (MA, aber ῡ̔ M[c]) 8 ὑπὲρ] ὑπὸ Gel. | ἀκριβολογεῖσθαι Sokr. (MH, von sp. Hand -θαι in -θε corr. GM[c]) 9 συμφέρητε Sokr. (MFHCG) Gel. συμφέρηται Sokr. (A) Th. | λογισμῶν Sokr. Gel. (A[1]) Th. 10 φιλίας + ἀπόρρητόν τε (> Th.) καὶ Sokr. Th. 11 τὴν > Eus. (V) Gel. | θρησκεία καὶ (> b) τιμή Gel. 12 σύμπαντι λαῷ ∼ Sokr. Gel. Th. 13 εἰσκαθάραντες Gel. (A[1]bc) 14 ἡδίων] ἡδεῖα Gel. | γίνεται φιλία ∼ Sokr. Gel. Th. | ἀπόθεσιν Eus. (Val. Hkl.) Gel. (V[1]c) ὑπόθεσιν Eus. (Hss.) Sokr. Gel. (A[1]P3) Th. | ἀπόθεσιν + εἰ Sokr. (A) 15 ἐπανέλθετε Sokr. (ἐπανελθοῦσα Sokr. M[c]) 17 ἥσυχος Sokr. ἡσυχῆς Th. 18 συγχεῖσθαι] συνέχεσθαι Sokr. Gel. Th. | πραέως Sokr. | μήτε Th. 21 αἴσθησθε + ἀκούσατε Sokr. Th. αἰσθήσεσθε ἀκούσατε Gel. 22 πρὸς] εἰς Sokr. Gel. Th. | δέ μοι πρὸς ὑμᾶς ἤδη ∼ Sokr. Gel. Th. 23 πράγματος] γράμματος Eus. 24 ἃ] ὃ Th. 25 προσέσθαι Eus. (IA Wil.) Sokr. Gel. (c) προσέσεσθαι Th. προέσθαι Eus. (M) Sokr. (M) προεῖσθαι Gel. (ab) προαισθέσθαι Eus. (V Hkl.) προσαισθέσθαι Eus. (B) | ὑμᾶς] ἡμᾶς Sokr. (G) Gel. (HP3) 26 ἣν + ἐν Th. | ἀπεκλείσατε + μοι Gel. (aP3c) 27 ὁμοῦ] αὐτοὺς Th. | χαίροντας Eus. (MBA) Sokr. Th. 28 καὶ] τε καὶ Eus. (IMBA) Gel. Th. | ἐπ'] ὑπ' Gel. Th. ὑπὲρ Sokr. | λόγοις Sokr. (HC). 29 Offenbar fehlt der bei den Konstantinbriefen übliche Schluß- und Grußsatz

Urkunde 18.

Das Schreiben der Synode von Antiochien 325.

(Anfang 325)

ܦܘܚܡܐ ܕܗܠܝܢ ܕܐܬܟܬܒ ܡܢ ܣܘܢܗܕܘܣ ܗܝ ܕܐܬܟܢܫܬ
ܒܐܢܛܝܘܟܝܐ܆ ܠܐܠܟܣܢܕܪܘܣ ܐܦܝܣܩܘܦܐ ܕܪܗܘܡܐ ܚܕܬܐ.

1 ܠܩܕܝܫܐ ܘܫܘܐ ܒܢܦܫܐ: ܐܚܐ ܚܒܝܒܐ ܘܫܘܐ ܒܬܫܡܫܬܐ ܐܠܟܣܢܕܪܘܣ܆ ܐܘܣܒܝܘܣ: ܐܘܣܛܐܬܝܘܣ: ܐܡܦܝܘܢ: ܒܐܣܝܐܢܘܣ: ܙܢܘܒܝܘܣ: ܦܝܦܪܝܘܣ: ܣܐܠܐܡܐܢܝܣ: ܓܪܝܓܘܪܝܘܣ: ܡܐܓܢܘܣ: ܦܛܪܘܣ: ܠܘܢܓܝܢܘܣ: ܡܐܢܝܩܝܘܣ: ܡܘܩܝܡܘܣ: ܐܓܐܦܝܘܣ: ܡܐܩܕܘܢܝܘܣ: ܦܘܠܘܣ: ܒܐܣܝܐܢܘܣ: ܣܠܘܩܘܣ: ⟨ܣ⟩ܘܦܛܪܘܣ: ܐܢܛܝܘܟܘܣ: ܡܐܩܪܝܘܣ: ܝܥܩܘܒ: ܐܠܐܢܝܩܘܣ: ܢܝܩܛܐܣ: ܐܪܟܠܐܘܣ: ܡܐܩܪܝܢܘܣ: ܓܪܡܐܢܘܣ: ܐܢܛܘܠܝܘܣ: ܙܘܐܝܠܘܣ: ܩܘܪܝܠܘܣ: ܦܘܠܝܢܘܣ: ܐܛܝܘܣ: ܡܘܫܐ: ܐܘܣܛܐܬܝܘܣ: ܐܠܟܣܢܕܪܘܣ: ܐܪܝܢܝܘܣ: ܪܒܘܠܐ: ܦܘܠܘܣ: ܠܘܦܘܣ: ܢܝܩܘܡܐܟܘܣ: ܦܝܠܘܟܣܢܘܣ: ܡܐܟܣܝܡܘܣ: ܡܐܪܝܢܘܣ: ܐܘܦܪܐܢܛܝܢ: ܛܪܩܘܢܕܝܡܢܛܘܣ: ܐܪܝܢܝܩܘܣ: ܦܛܪܘܣ: ܦܝܓܐܣܝܘܣ: ܐܘܦܣܘܟܝܘܣ: ܐܣܩܠܦܝܘܣ: ܐܠܦܝܘܣ: ܒܐܣܘܣ: ܓܪܘܢܛܝܘܣ: ܐܣܘܟܝܘܣ: ܐܘܝܕܝܘܣ: ܛܪܢܛܝܘܣ: ܒܡܪܢ ܫܠܡܐ.

2 ܟܕ ܚܕ ܦܓܪܐ ܐܝܬܘܗܝ ܕܥܕܬܐ ܩܬܘܠܝܩܝ ܕܒܟܠ ܕܘܟ ܐܦ ܐܢ ܒܕܘܟܝܬܐ ܡܫܚܠܦܬܐ ܐܝܬܝܗܝ ܡܫܟܢܐ ܕܟܢܘܫܬܐ: ܐܝܟ ܕܗܕܡܐ ܕܟܠܗ ܦܓܪܐ܆ ܘܢܦܩܐ ܐܝܬܝܗ ܕܐܦ ܠܚܘܒܟ ܕܝܠܟ ܢܬܝܕܥܢ. ܗܠܝܢ ܕܡܢܝ ܘܡܢ ܐܚܝ ܢܦܫܐ ܩܕܝܫܐ ܒܢܝ ܬܫܡܫܬܐ. ܘܩܡܝ ܒܬܫܡܫܬܐ ܐܬܬܙܝܥ ܡܢܢ ܐܦ ܐܬܥܒܕܝ. ܐܝܟܢܐ ܕܐܦ ܐܢܬ ܐܝܟ ܗܘ ܕܩܪܝܒ ܐܢܬ ܒܪܘܚ܆ ܬܡܠܠ ܐܟܚܕܐ ܥܡܢ ܘܐܟܚܕܐ ܬܦܩܘܕ.

E Schultheß 160

2 ܕܪܗܘܡܐ ܚܕܬܐ] lies ܠܬܣܠܘܢܝܩܐ corr. Brillantow Op. siehe Untersuchungen 3 ܐܘܣܒܝܘܣ E] lies ܗܘܣܝܘܣ siehe Untersuchungen 4 ܣܠܐܡܐܢܝܣ Schw. nach der Liste der Väter von Nicäa (Gelzer V 55) ܐܓܐܦܝܘܣ E 8 ܦܘܠܝܢܘܣ E ܦܠܐܘܝܢܘܣ Schultheß. 9 ܐܘܦܪܐܢܛܝܢ E 15 ܒܪܘܚ E

(Übersetzung von E. Schwartz NGG 1905, 272)

Ἀντίγραφον τῶν ὑπὸ τῆς συνόδου γεγραμμένων τῆς ἐν Ἀντιοχείᾳ συνηθροισμένης πρὸς Ἀλέξανδρον ἐπίσκοπον τῆς *Θεσσαλονίκης*.

1 Τῷ ἁγίῳ καὶ ὁμοψύχῳ ἀδελφῷ ἀγαπητῷ καὶ συλλειτουργῷ Ἀλεξάνδρῳ *Ὅσιος*, Εὐστάθιος, Ἀμφίων, Βασσιανός, Ζηνόβιος, Πιπέριος, Σαλαμάνης, Γρηγόριος, Μάγνος, Πέτρος, Λογγῖνος, Μανίκιος, Μοκῖμος, Ἀγάπιος, Μακεδόνιος, Παῦλος, Βασσιανός, Σέλευκος, Σώπατρος, Ἀντίοχος, Μακάριος, Ἰάκωβος, Ἑλλάνικος, Νικητᾶς, Ἀρχέλαος, Μακρῖνος, Γερμανός, Ἀνατόλιος, Ζωΐλος, Κύριλλος, Παυλῖνος, Ἀέτιος, Μωσῆς, Εὐστάθιος, Ἀλέξανδρος, Εἰρηναῖος, Ῥαββουλᾶς, Παῦλος, Λοῦπος, Νικόμαχος, Φιλόξενος, Μάξιμος, Μαρῖνος, Εὐφραντίων, Ταρκωνδίμαντος, Εἰρηνικός, Πέτρος, Πηγάσιος, Εὐψύχιος, Ἀσκληπιός, Ἄλφειος, Βάσσος, Γερόντιος, Ἡσύχιος, Ἀυίδιος, Τερέντιος ἐν κυρίῳ χαίρειν.

2 Ἑνὸς σώματος ὄντος τῆς καθολικῆς κατὰ πάντα τόπον ἐκκλησίας, κἂν ἐν διαφόροις τόποις ὦσιν αἱ τῶν συναγωγῶν σκηναὶ καθάπερ μέλη τοῦ ὅλου σώματος, ἀκόλουθόν ἐστιν καὶ τῇ σῇ ἀγάπῃ γνωσθῆναι τὰ ὑπό τ' ἐμοῦ τε καὶ τῶν ὁσίων ἀδελφῶν ἡμῶν, τῶν ὁμοψύχων καὶ συλλειτουργῶν κεκινημένα τε καὶ πεπραγμένα, ἵνα καὶ σὺ ὥσπερ παρὼν ἐν πνεύματι κοινῇ σὺν ἡμῖν λαλήσῃς καὶ κοινῇ προστάξῃς περὶ τὰ ὑφ'

11 vgl. den Anfang von Urk. 4b S. 6, 3 Eph. 4,3. 4.

3 ܒܗܠܝܢ ܕܡܢ ܠܚܠܝܡܘܬܐ ܥܡ ܟܠ ܘܐܝܟ ܢܡܘܣܐ ܥܕܬܢܝܐ ܐܬܬܣܝܡ ܥܡ ܘܐܬܥܒܕ. ܟܕ ܓܝܪ
ܐܬܝܬ ܠܗܘܢ ܕܐܢܛܝܘܟܝܐ: ܘܚܙܝܬ ܠܥܕܬܐ ܕܣܓܝ ܡܫܬܓܫܐ ܗܘܬ ܡܢ ܙܝܙܢܐ ܒܡܠܦܢܘܬܐ ܘܒܦܠܓܘܬܐ
ܕܐܢܫܝܢ. ܕܫܦܝܪ ܐܝܬ ܠܗ ܐܬܚܙܝܬ ܠܝ: ܕܠܘ ܡܢܝ ܕܝܠܝ ܒܠܚܘܕܝ ܗܘ ܕܐܝܟ ܗܢܐ ܠܡܫܕܐ ܘܠܡܕܚܐ.
ܐܠܐ ܓܝܪ ܐܦ ܗܘ ܕܐܢܓܘܪ ܙܕܩ. ܠܢܦܫܐ ܫܘܝܐ ܕܝܠܢ ܘܢܦܫܐ ܠܟܘܡܪܘܬܐ. ܠܗܠܝܢ ܕܡܬܩܪܒܝܢ
ܡܢ ܡܘܬܒܐ ܐܠܝܢ. ܡܛܠ ܨܒܘܬܐ ܗܝ ܕܡܫܬܪܥܐ ܘܐܠܨܐ ܠܐܚܝܢ. ܠܗܠܝܢ ܕܝܢ ܕܡܢ
ܦܠܣܛܝܢܝ ܘܐܪܒܝܐ. ܘܡܢ ܦܘܢܝܩܐ ܘܡܢ ܣܘܪܝܐ ܚܠܝܠܬܐ ܘܡܢ ܩܝܠܝܩܝܐ. ܘܐܦ ܠܐܢܫܝܢ ܡܢ
ܗܢܘܢ ܕܒܩܦܕܘܩܝܐ. ܐܝܟܢܐ ܕܒܡܫܘܬܦܘܬܐ ܚܘܫܒܐ ܢܒܩܐ ܘܢܒܨܐ. ܢܩܝܡ ܫܦܝܪܐܝܬ
ܗܠܝܢ ܕܥܕܬܐ. ܡܢ ܣܓܝܐܐ ܓܝܪ ܘܟܐܢܐ. ܡܬܥܡܪܐ ܐܝܟ ܗܝ ܡܕܝܢܬܐ.
4 ܟܕ ܗܟܝܠ ܛܝܒܘܬܐ ܕܐܠܗܐ ܟܢܫܬ ܠܢ ܐܝܟ ܒܡܕܒܪܬܐ ܗܝ ܕܐܢܛܝܘܟܝܐ: ܘܟܕ ܡܬܒܨܝܢ
ܘܦܪܫܝܢ ܗܠܝܢ ܓܘܢܝܐ ܘܡܘܬܪܢܐ ܘܕܦܩܢ ܠܥܕܬܐ ܕܐܠܗܐ: ܐܫܟܚܢ ܒܟܠܗܝܢ ܦܘܠܓܐ:
ܡܬܘܠ ܡܛܠ ܗܝ ܕܒܣܓܝܐܐ ܡܣܬܒܪ ܗܘܐ ܘܡܫܬܛ ܢܡܘܣܐ ܥܕܬܢܝܐ ܘܩܢܘܢܐ: ܒܙܒܢܐ ܕܒܡܨܥܬܐ
5 ܡܢ ܐܢܫܝܢ ܕܥܠܡܝܢ: ܘܡܫܬܥܢ ܗܘܐ ܟܠ ܠܗܘ: ܒܗܝ ܕܡܬܟܠܝܐ ܗܘܐ ܕܢܬܟܢܫ ܣܘܢܘܕܘܣ
ܕܐܦܝܣܩܘܦܐ ܒܕܘܟܝܬܐ ܕܐܬܪܘܬܐ ܗܠܝܢ. ܐܬܚܙܝܬ ܕܒܩܕܡܝܬܐ ܗܘܐ ܢܬܒܨܐ. ܗܝ ܕܡܢ ܕܐܦ ܡܝܬܪ
ܡܢ ܟܠ ܝܬܝܪܐ ܘܝܬܝܪ ܡܢ ܟܠ ܡܬܡܠܝܐ. ܡܛܠ ܕܝܢ ܕܗܘ ܐܝܬܘܗܝ ܟܠܗ ܐܪܙܐ ܕܗܝܡܢܘܬܐ ܗܝ ܕܒܢ.
6 ܐܡܪ ܐܢܐ ܥܠ ܡܛܠ ܦܪܘܩܐ ܕܟܠܢ ܒܪܗ ܕܐܠܗܐ ܚܝܐ. ܡܛܠ ܓܝܪ ܕܐܚܘܢ ܘܟܪ ܠܬܫܡܫܬܢ ܡܝܩܪܐ
ܘܚܒܝܒܐ ܐܠܟܣܢܕܪܘܣ ܐܦܝܣܩܘܦܐ ܕܐܠܟܣܢܕܪܝܐ: ܠܐܢܫܝܢ ܡܢ ܩܫܝܫܐ ܕܝܠܗ ܡܢ ܗܠܝܢ ܕܥܡ
ܐܪܝܘܣ ܛܪܝܕܐ ܡܢ ܥܕܬܐ ܥܒܕ ܐܢܘܢ: ܡܛܠ ܫܘܒܚܐ ܗܘ ܕܟܠ ܦܪܘܩܢ ܡܠܝܘ: ܐܦ ܗܟܢ ܠܟܠܗܘܢ

E 9 ܕܡܕܒܪܬܐ] marg. ܠܦܪܘܩܝܐ

ἡμῶν ὑγιῶς καὶ κατὰ τὸν ἐκκλησιαστικὸν νόμον ὁρισθέντα τε καὶ πραχθέντα.
ἐλθὼν γὰρ εἰς τὴν τῶν Ἀντιοχέων καὶ ἰδὼν τὴν ἐκκλησίαν λίαν ταραχθεῖσαν ȝι- 3
ȝανίοις διὰ τῆς ἐνίων διδασκαλίας καὶ στάσεως καλῶς ἔχειν ἔδοξέ μοι μὴ ὑπ' ἐμαυτοῦ
μόνου τὸ τοιοῦτον ἀποβληθῆναι καὶ ἀπωσθῆναι, ἀλλὰ γὰρ καὶ παρορμῆσαι δεῖν τοὺς
ὁμοψύχους ἡμῶν καὶ συλλειτουργοὺς τοὺς μάλιστα γειτονιῶντας περὶ πράγματος ἐπεί-
γοντος καὶ ἀναγκαιοτάτου τοῖς ἀδελφοῖς ἡμῶν τούς τε ἀπὸ Παλαιστίνης καὶ Ἀραβίας
καὶ ἀπὸ Φοινίκης καὶ ἀπὸ Κοίλης Συρίας καὶ ἀπὸ Κιλικίας καὶ ἐνίους τῶν ἐν Καππαδοκίᾳ,
ἵνα κοινῷ λογισμῷ δοκιμάσαντες καὶ ἐξετάσαντες τὰ ἐκκλησιαστικὰ τελείως καταστή-
σωμεν. ὑπὸ πολλῶν γὰρ καὶ δικαίων συνοικεῖται ἡ πόλις.
Ἐπειδὴ οὖν ἡ χάρις τοῦ θεοῦ ἡμᾶς συνήγαγεν εἰς τὴν παροικίαν τὴν ἐν Ἀντιοχείᾳ 4
καὶ ἐξετάσαντες ἡμεῖς καὶ πραγματευσάμενοι τὰ κοινὰ καὶ ὠφέλιμα καὶ χρήσιμα τῇ ἐκ-
κλησίᾳ τοῦ θεοῦ, εὕρομεν πολλὴν ἀταξίαν μάλισθ' ὅτι ἐν πολλοῖς ὠλιγωρήθη καὶ κατε-
φρονήθη ὁ ἐκκλησιαστικὸς νόμος καὶ οἱ κανόνες ἐν τῷ μεταξὺ χρόνῳ ὑπὸ ἀνθρώπων
κοσμικῶν καὶ πάντως καταπεπαύεται. διότι κεκώλυτο ἐπισκόπων σύνοδον συν- 5
αχθῆναι ἐν τοῖς τῶν μερῶν τούτων τόποις, ἔδοξεν πρῶτον ἐξετασθῆναι, ὃ πάντων κρά-
τιστον καὶ πάντα ὑπερβάλλον, μᾶλλον δὲ τὸ ὅλον ἐστὶ μυστήριον τῆς ἐν ἡμῖν πίστεως,
λέγω δὴ τὸ περὶ τοῦ πάντων ἡμῶν σωτῆρος τοῦ υἱοῦ τοῦ θεοῦ ȝῶντος. ἐπεὶ γὰρ ὁ 6
ἀδελφὸς ἡμῶν καὶ συλλειτουργός, ὁ τίμιος καὶ ἀγαπητὸς Ἀλέξανδρος, ἐπίσκοπος τῆς
Ἀλεξανδρείας, ἐνίους τῶν πρεσβυτέρων αὐτοῦ τῶν περὶ τὸν Ἄρειον ἀποβλήτους

2/3 vgl. Mt. 13,25. Die Unruhen entstanden wohl zunächst durch die gelockerten Verhältnisse während der Licinianischen Verfolgung. Loofs (Paul von Samosata S. 164ff.) zeigte, daß die Unordnung in Antiochien durch die schismatische Gemeinde Pauls verursacht worden war.

ܠܐܢܫܝܢ ܐܡܪܘ ܒܡܫܬܘܬܦܘܬܗܘܢ ܢܦܫܬܐ: ܐܝܟܢܐ ܕܐܦ ܒܫܘܬܦܘܬܐ ܕܝܠܗܘܢ ܠܡܦܠܛ. ܡܛܠ ܗܕܐ
ܐܬܚܙܝܬ ܠܟܢܘܫܝܐ ܩܕܝܫܐ. ܕܗܕܐ ܠܘܩܕܡ ܬܬܒܨܐ. ܐܝܟܢܐ ܕܟܕ ܗܘܐ ܪܫܐ ܕܐܪ̈ܙܐ ܡܫܬܪܐ ܠܘܬܢ.
ܐܦ ܗܟܢ ܕܫܪܟܐ ܒܠܚܘܕ ܢܬܒܨܘܢ ܒܚܘܝܕܗܘܢ. ܐܦ ܟܕ ܡܢ ܐܬܟܢܫܢ ܐܟܚܕܐ: 7
ܒܡܨܥܬܐ ܐܦ ܕܐܢܫܝܢ ܡܢܗܘܢ ܐܚ̈ܐ. ܡܛܠ ܗܝܡܢܘܬܐ ܥܕܬܢܝܬܐ ܗܝ ܕܡܢ ܟܬ̈ܒܐ ܘܡܢ ܫܠܝ̈ܚܐ
ܝܠܦܢ ܘܡܢ ܐܒܗ̈ܬܐ ܩܒܠܢ. ܣܓܕܢ ܡܠܬܐ. ܘܐܦ ܗܠܝܢ ܕܐܬܥܒ̈ܕ ܐܦ ܡܢ ܐܠܟܣܢܕܪܘܣ
ܐܦܝܣܩܘܦܐ ܕܐܠܟܣܢܕܪܝܐ ܥܠ ܗܠܝܢ ܕܥܡ ܐܪܝܘܣ. ܐܝܬܝܢ ܠܡܨܥܬܐ. ܐܝܟܢܐ ܕܐܢ ܐܢܫܝܢ ܢܬܚܙܘܢ
ܕܡܬܚܒܠܝܢ ܒܡܠܦܢܘܬܐ ܗܦܘܟܬܐ ܕܗܠܝܢ. ܐܦ ܗܢܘܢ ܢܗܘܘܢ ܢܘܟܪ̈ܝܐ ܠܥܕܬܐ. ܕܠܐ ܡܢ
ܠܓܘ ܡܩܘܝܢ. ܠܡܓܪܦ ܠܐܢܫܝܢ ܡܢ ܗܢܘܢ ܕܐܝܬ ܦܫܝܛܝܢ ܠܡܪܗܘܢ.
ܐܝܬܝܗ̇ ܗܟܝܠ ܗܝܡܢܘܬܐ ܗܝ ܕܐܬܝܗܒܬ ܡܢ ܐܢ̈ܫܐ ܕܒܪܘܚ: ܐܝܟ ܕܡܢ ܓܒܪ̈ܐ ܪܘܚܢܝܐ. ܘܕܠܐ ܠܐܘ ܙܕܩ 8
ܕܢܬܚܫܒܘܢ ܕܒܒܣܪ ܚܝܝܢ ܗܘܘ ܐܘ ܡܬܪܥܝܢ ܗܘܘ: ܐܠܐ ܕܒܪܘܚܐ ܒܟܬ̈ܒܐ ܩܕ̈ܝܫܐ ܕܒܟܬ̈ܒܐ
ܕܢܫܝ̈ܒܢ ܡܢ ܪܘܚܐ ܡܬܕܪܫܝܢ ܗܘܘ ܗܕܐ: ܠܡܗܝܡܢܘ ܒܚܕ ܐܠܗܐ ܐܒܐ ܐܚܝܕ ܟܠ. ܠܐ ܡܬܕܪܟܢܐ. ܠܐ
ܡܫܬܚܠܦܢܐ ܘܠܐ ܡܫܬܓܚܢܢܐ. ܡܦܪܢܣܢܐ ܘܡܕܒܪܢܐ ܕܟܠ. ܟܐܢܐ. ܛܒܐ. ܥܒܘܕܐ ܕܫܡܝܐ ܘܕܐܪܥܐ. ܘܕܟܠܗܘܢ
ܕܒܗܘܢ. ܡܪܐ ܕܢܡܘܣܐ ܘܕܢܒܝ̈ܐ ܘܕܕܝܬܩܐ ܚܕܬܐ. ܘܒܚܕ ܡܪܝܐ ܝܫܘܥ ܡܫܝܚܐ ܒܪܐ ܝܚܝܕܝܐ. 9
ܕܐܬܝܠܕ ܠܘ ܡܢ ܗܘ ܕܠܐ ܐܝܬܘܗܝ. ܐܠܐ ܡܢ ܐܒܐ. ܠܘ ܐܝܟ ܒܪܝܬܐ. ܐܠܐ ܐܝܟ ܝܠܝܕܐ ܫܪܝܪܐܝܬ. ܐܬܝܠܕ ܕܝܢ
ܠܐ ܡܬܡܠܠܢܐܝܬ ܘܠܐ ܡܬܡܟܠܠܢܐܝܬ. ܡܛܠ ܗܘ ܕܐܒܐ ܒܠܚܘܕܘܗܝ ܗܘ ܕܝܠܕ. ܘܒܪܐ ܗܘ ܕܐܬܝܠܕ ܝܕܥ.
ܠܐ ܐܢܫ ܓܝܪ ܝܕܥ ܠܐܒܐ ܐܠܐ ܐܢ ܒܪܐ. ܐܘ ܐܦ ܠܐ ܠܒܪܐ ܐܠܐ ܐܢ ܐܒܐ. ܕܒܟܠܙܒܢ ܐܝܬܘܗܝ. ܘܠܐ ܕܡܢ

E

ἐποίησεν τῆς ἐκκλησίας τῆς βλασφημίας ἕνεκα, ἣν κατὰ τοῦ σωτῆρος ἡμῶν ἐπέτειναν, εἰ
καὶ τοσοῦτον ἐνίους πλανῆσαι τῇ ἀσεβεῖ διδασκαλίᾳ αὐτῶν ἐδυνήθησαν ὥστε καὶ εἰς κοι-
νωνίαν ὑπ' αὐτῶν δεχθῆναι, διὰ τοῦτο ἔδοξεν τῇ ἁγίᾳ συνόδῳ τόδε πρῶτον ἐξετασθῆναι,
ἵν' ὅταν τὸ τῶν μυστηρίων κεφάλαιον λυθῇ τὸ ἐφ' ἡμῖν, οὕτως καὶ τὰ λοιπὰ πάντα
7 ἑξῆς ἰδίᾳ ἐξετασθῆναι δύναιτο. καὶ δὴ εἰς ἓν συναχθέντες παρόντων καί τινων ἀδελφῶν
λογίων περὶ τῆς ἐκκλησιαστικῆς πίστεως, ἣν ὑπὸ τῶν γραφῶν καὶ τῶν ἀποστόλων
ἐδιδάχθημεν καὶ ἀπὸ τῶν πατέρων παρειλήφαμεν, ἐμηκύναμεν τὸν λόγον, ἔτι δὲ καὶ τὰ ὑπὸ
'Αλεξάνδρου τῆς 'Αλεξανδρείας ἐπισκόπου κατὰ τῶν μετ' 'Αρείου πραχθέντα εἰς τὸ
μέσον ἠνέγκομεν, ἵνα ἐάν τινες φαίνωνται τῇ ἐναντίᾳ τούτων διδασκαλίᾳ διαφθαρέντες
καὶ αὐτοὶ ἀλλότριοι γένωνται τῆς ἐκκλησίας, ὅπως μὴ ἔνδον μένοντες τινὰς τῶν ἁπλου-
στέρων ὑποσύρειν δυνηθῶσιν.
8 Ἔστιν οὖν ἡ πίστις, ἣ προετέθη ὑπ' ἀνδρῶν πνευματικῶν καὶ οὓς αὖθις οὐ
δίκαιον νομίζειν κατὰ σάρκα ζῆν ἢ νοεῖν, ἀλλὰ ἐν πνεύματι ταῖς τῶν θεοπνεύστων
βιβλίων ἁγίαις γραφαῖς συνησκῆσθαι, ἥδε· πιστεύειν εἰς ἕνα θεὸν πατέρα παντο-
κράτορα, ἀκατάληπτον, ἄτρεπτον καὶ ἀναλλοίωτον, προνοητὴν καὶ ἡγεμόνα τοῦ
παντός, δίκαιον, ἀγαθόν, ποιητὴν οὐρανοῦ καὶ γῆς καὶ πάντων τῶν ἐν αὐτοῖς, νόμου
9 καὶ προφητῶν καὶ τῆς καινῆς διαθήκης κύριον· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστόν,
υἱὸν μονογενῆ, γεννηθέντα οὐκ ἐκ τοῦ μὴ ὄντος, ἀλλ' ἐκ τοῦ πατρός, οὐχ ὡς ποιητόν, ἀλλ'
ὡς γέννημα κυρίως, γεννηθέντα δὲ ἀρρήτως καὶ ἀλέκτως, διότι μόνος ὁ πατὴρ ὁ γεννήσας
καὶ ὁ υἱὸς ὁ γεννηθεὶς ἔγνω. »οὐδεὶς γὰρ ἐπιγινώσκει τὸν πατέρα εἰ μὴ ὁ υἱός, ἢ τὸν υἱὸν εἰ

2/3 vgl. Urk. 14. S. 20,25 13ff. Zu dem Glaubensbekenntnis ist das des Alexander Urk. 14 S. 26,30ff. und des Euseb in Urk. 22 S. 43,9 zu vergleichen. Siehe auch den ausführlichen Kommentar bei E. Seeberg, Die Synode von Antiochien S. 120ff. 16/17 vgl. Urk. 14 S. 27,3 18 vgl. Arius Urk. 4b S. 7,20 20 bis 39,1 vgl. Mt. 11,27, Lc. 10,22 und siehe Urk. 14 S. 27,12-13 Komm. Vgl. Arius Urk. 4b S. 8,4f.

ܩܕܝܡ ܠܐ ܐܝܬܘܗܝ ܗܘܐ. ܨܠܡܐ ܓܝܪ. ܠܗ ܒܠܚܘܕܘܗܝ ܡܢ ܟܬ̈ܒܐ ܩܕ̈ܝܫܐ ܝܠܦܢܢ. ܠܘ ܕܠܐ 10
ܝܠܝܕܐ ܐܝܬܘܗܝ. ܐܝܟ ܕܡܢ ܐܒܐ ܡܬܝܠܕܐ. ܠܘ ܒܣܝܡܘܬܐ. ܥܘܠܬܐ ܗܝ ܓܝܪ ܘܓܘܕܦܐ ܗܕܐ
ܠܡܐܡܪ. ܐܠܐ ܡܛܠ ܕܫܪܝܪܐܝܬ ܘܬܪܝܨܐܝܬ ܒܪܐ ܐܡܪܝܢ ܠܗ ܟܬ̈ܒܐ ܕܐܝܬܘܗܝ ܝܠܝܕܐ. ܐܝܟܢܐ ܕܐܦ ܗܝܡܢܝܢ.
ܕܠܐ ܡܫܬܚܠܦܢܐ ܐܝܬܘܗܝ. ܘܠܐ ܡܫܬܓܢܝܢܐ. ܠܗ ܕܝܢ ܕܒܨܒܝܢܐ ܐܘ ܒܣܝܡܘܬܐ ܐܬܝܠܕ ܐܘ ܗܘܐ: ܐܝܟܢܐ
ܕܢܗܘܐ ܚܙܝܐ ܕܡܢ ܗܘ ܕܠܐ ܐܝܬܘܗܝ ܐܝܬܘܗܝ. ܐܠܐ ܐܝܟ ܕܦܐܐ ܕܢܬܝܠܕ. ܘܗܘ ܦܐܐ ܕܠܐ ܐܬܚܫܒ
ܢܬܕܡܐ ܒܫܘܝܘܬܐ. ܠܗ ܠܟܝܢܐ ܦܘܫܟܐ ܘܚܠܛܐ ܘܡܘܠܟܬܐ ܕܥܠܝܗܘܢ ܗܢܘܢ ܕܒܐܝܕܗ ܗܘܘ:
11 ܐܠܐ ܡܛܠ ܕܥܒܪ ܠܟܠ ܡܣܬܟܠܢܘܬܐ ܘܠܪܥܝܢܐ ܘܠܡܠܬܐ. ܕܡܢ ܐܒܐ ܠܐ ܝܠܝܕܐ ܐܬܝܠܕ ܡܘܕܝܢܢ. ܐܠܗܐ
ܡܠܬܐ. ܢܘܗܪܐ ܫܪܝܪܐ. ܙܕܝܩܘܬܐ. ܝܫܘܥ ܡܫܝܚܐ. ܡܪܐ ܕܟܠ ܘܦܪܘܩܐ. ܨܠܡܐ ܓܝܪ ܐܝܬܘܗܝ ܠܘ
ܕܨܒܝܢܐ: ܘܐܦܠܐ ܕܡܕܡ ܐܚܪܢ. ܐܠܐ ܕܝܠܗ ܕܩܢܘܡܐ ܐܒܗܝܐ. ܗܢܐ ܕܝܢ ܒܪܐ ܡܠܬܐ ܐܠܗܐ. ܐܦ ܒܒܣܪ
ܡܢ ܝܠܕܬ ܐܠܗܐ ܡܪܝܡ ܐܬܝܠܕ. ܘܦܓܪܐ ܠܒܫ ܚܫ ܘܡܝܬ ܘܩܡ ܡܢ ܡܝ̈ܬܐ. ܘܐܣܬܠܩ
12 ܠܫܡܝܐ. ܝܬܒ ܕܝܢ ܡܢ ܝܡܝܢܐ ܕܪܒܘܬܐ ܡܥܠܝܬܐ. ܘܐܬܐ ܕܢܕܘܢ ܠܚ̈ܝܐ ܘܠܡܝ̈ܬܐ. ܒܬܪܟܢ ܐܝܟܢܐ ܕܐܦ
ܗܘ ܦܪܘܩܢ: ܐܦ ܟܬ̈ܒܐ ܩܕ̈ܝܫܐ ܡܠܦܝܢ. ܒܚܕ ܪܘܚܐ ܠܡܗܝܡܢܘ. ܚܕܐ ܥܕܬܐ ܩܬܘܠܝܩܝ.
ܩܝܡܬܐ ܕܡ̈ܝܬܐ ܘܕܝܢܐ ܕܦܘܪܥܢܐ. ܠܟܠ ܐܢܫ ܗܟܢ ܕܥܒܕ ܐܝܟ ܒܦܓܪܐ. ܐܢ ܛܒ̈ܬܐ ܘܐܢ ܒܝ̈ܫܬܐ.
13 ܟܕ ܡܚܪܡܝܢ ܠܗܢܘܢ ܕܐܡܪܝܢ ܘܡܬܪܥܝܢ ܘܡܟܪܙܝܢ ܠܒܪܐ ܕܐܠܗܐ ܒܪܝܬܐ ܐܘ ܗܘܝܐ ܐܘ
ܥܒܝܕܐ. ܘܠܘ ܕܫܪܝܪܐܝܬ ܐܝܬܘܗܝ ܝܠܝܕܐ. ܐܘ ܕܐܝܬ ܗܘܐ ܐܡܬܝ ܕܠܐ ܐܝܬܘܗܝ ܗܘܐ. ܚܢܢ ܓܝܪ ܘܕܐܝܬܘܗܝ
ܗܘܐ. ܘܕܐܝܬܘܗܝ ܘܕܢܘܗܪܐ ܐܝܬܘܗܝ ܡܗܝܡܢܝܢ. ܥܡ ܗܠܝܢ ܕܝܢ. ܐܦ ܠܗܢܘܢ ܕܡܬܪܥܝܢ ܕܒܨܒܝܢܐ

E

μὴ ὁ πατήρ«. τὸν ἀεὶ ὄντα καὶ οὐ πρότερον οὐκ ὄντα. εἰκόνα γὰρ αὐτὸν μόνον ἐκ τῶν 10
ἁγίων γραφῶν μεμαθήκαμεν, οὐ — δῆλον ὅτι ὡς ἂν παρὰ τοῦ πατρός — ἀγέννητον ὄντα· οὐ θέσει· ἀσεβὲς γὰρ καὶ βλάσφημον τοῦτο λέγειν, ἀλλὰ κυρίως καὶ ἀληθῶς υἱὸν λέγουσιν αὐτὸν αἱ γραφαὶ γεννηθέντα, ὥστε καὶ πιστεύομεν ἄτρεπτον εἶναι καὶ ἀναλλοίωτον αὐτὸν οὐδὲ θελήσει ἢ θέσει γεννηθῆναι ἢ γενέσθαι, ὥστε ἐκ τοῦ μὴ ὄντος αὐτὸν εἶναι φαίνεσθαι, ἀλλὰ καθὸ γεννηθῆναι αὐτὸν εἰκός, οὐδ' ὅπερ οὐ θέμις ἐννοεῖν καθ' ὁμοίωσιν ἢ φύσιν ἢ μῖξιν οὐδενὸς τῶν δι' αὐτοῦ γενομένων, ἀλλὰ διότι ὑπερβαίνει πᾶσαν ἔννοιαν ἢ διάνοιαν 11
ἢ λόγον, ἐκ τοῦ πατρὸς τοῦ ἀγεννήτου γεννηθῆναι αὐτὸν ὁμολογοῦμεν, θεὸν λόγον, φῶς ἀληθινόν, δικαιοσύνην, Ἰησοῦν Χριστόν, πάντων κύριον καὶ σωτῆρα. εἰκὼν γάρ ἐστιν οὐ θελήσεως οὐδ' ἄλλου τινός, ἀλλ' αὐτῆς τῆς πατρικῆς ὑποστάσεως. οὗτος δ' ὁ υἱὸς θεὸς λόγος καὶ ἐν σαρκὶ ἐκ τῆς θεοτόκου Μαρίας τεχθεὶς καὶ σαρκωθείς, παθὼν καὶ ἀποθανὼν ἀνέστη ἐκ νεκρῶν καὶ ἀνελήφθη εἰς οὐρανόν, κάθηται δὲ ἐν δεξιᾷ τῆς μεγαλοσύνης τῆς ὑψίστης, ἐρχόμενος κρῖναι ζῶντας καὶ νεκρούς· ἔτι δὲ ὡς καὶ τὸν σωτῆρα 12
ἡμῶν αἱ ἱεραὶ γραφαὶ διδάσκουσιν καὶ ἓν πνεῦμα πιστεῦσαι, μίαν καθολικὴν ἐκκλησίαν, τὴν νεκρῶν ἀνάστασιν, καὶ κρίσιν ἀνταποδόσεως καθὰ ἔπραξέν τις ἐν σαρκὶ εἴτε ἀγαθὰ εἴτε κακά, ἀναθεματίζοντες ἐκείνους, οἳ λέγουσιν ἢ νομίζουσιν ἢ κηρύττουσιν τὸν υἱὸν τοῦ 13
θεοῦ κτίσμα ἢ γενητὸν ἢ ποιητὸν καὶ οὐκ ἀληθῶς γέννημα εἶναι ἢ ὅτι ἦν ὅτε οὐκ ἦν, — ἡμεῖς γάρ, ὅτι ἦν καὶ ἔστιν καὶ ὅτι φῶς ἐστιν, πιστεύομεν, — προσέτι δὲ κἀκείνους οἳ τῇ αὐτεξουσίῳ θελήσει αὐτοῦ ἄτρεπτον εἶναι αὐτὸν ἡγοῦνται, ὥσπερ καὶ οἱ ἐκ τοῦ μὴ ὄντος

1 Vgl. Urk. 14 S. 27, 17 | zu εἰκὼν vgl. II. Kor. 4, 4. vgl. Urk. 14 S. 27, 15 3 und 5 zu θέσει vgl. Urk. 14 S. 24, 10ff. 5 Zu θελήσει vgl. Urk. 8 S. 17, 4 8f. Vgl. I. Kor. 1,24 9 II. Kor. 4, 4 10 ὑποστάσεως] Schw. übersetzte ܩܢܘܡܐ mit προσώπου. Die Übersetzung im Text ist nach E. Seeberg a. a. O. S. 138 vgl. Hebr. 1, 3 gegeben. 11ff. Vgl. Urk. 14 S. 28, 15ff. 15 II. Kor. 5, 10 19 zu αὐτεξουσίῳ θελήσει vgl. Urk. 14 S. 21, 22; Urk. 23 S. 48, 3

[illegible]

14 [illegible]

15 [illegible]

E 8 [illegible] s. Note 9 unter dem Griechen

παράγοντες τὴν γέννησιν καὶ μὴ φύσει ἄτρεπτον κατὰ τὸν πατέρα. εἰκὼν γὰρ ὡς ἐν πᾶσιν, οὕτως καὶ μάλιστα ἐν τῷδε τοῦ πατρὸς ἐκηρύχθη ὁ σωτὴρ ἡμῶν.

14 Αὕτη οὖν ἡ πίστις προετέθη καὶ πᾶσα ἡ ἱερὰ σύνοδος συνέθετο καὶ ὡμολόγησε ταύτην εἶναι τὴν ἀποστολικὴν καὶ σωτήριον διδασκαλίαν. πάντες τε οἱ συλλειτουργοὶ ταὐτὸ περὶ τούτων ἐφρόνουν. μόνον Θεόδοτος ὁ τῆς τῶν Λαοδικέων καὶ Νάρκισσος ὁ ἀπὸ Νερωνιάδος καὶ Εὐσέβιος ὁ ἀπὸ Καισαρείας τῆς Παλαιστίνης ὡς ἂν ἐπιλαθόμενοι τῶν ἁγίων γραφῶν καὶ τῶν ἀποστολικῶν διδαγμάτων, καίτοι πολυτρόπως λαθεῖν πειρηθέντες καὶ κατακρύπτειν τὰς πλάνας αὐτῶν πιθανολογίαις οὐκ ἀληθέσιν, ὅμως ἐναντία τούτοις εἰσάγοντες ἐφάνησαν. καὶ γὰρ ἐναργῶς, ἐξ ὧν ἠρωτήθησαν καὶ ἠρώτησαν, ἠλέγχθησαν ὁμοδοξοῦντες τοῖς μετ' Ἀρείου καὶ ἐναντία τοῖς προκειμένοις φρονοῦντες. ὅθεν τοσοῦτον σκληρυνθέντων αὐτῶν καὶ οὐκ αἰδεσθέντων τὴν ἁγίαν σύνοδον ταῦτα παραιτουμένην καὶ δυσωπουμένην κεκρίκαμεν πάντες ἡμεῖς οἱ ἐν τῇ συνόδῳ συλλειτουργοὶ μὴ κοινωνεῖν τούτοις μηδὲ ἀξίους αὐτοὺς εἶναι κοινωνίας διὰ τὴν πίστιν αὐτῶν ἀλλοτρίαν οὖσαν τῆς καθολικῆς

15 ἐκκλησίας. καὶ ἵνα εἰδῇς, γράφομέν σοι ὅπως καὶ σὺ φυλάττῃ ἀπὸ τῆς πρὸς τούτους κοινωνίας καὶ τοῦ γράψαι πρὸς αὐτοὺς ἢ δέχεσθαι παρ' αὐτῶν ἐπιστολὰς κοινωνικάς. καὶ τοῦτο δὲ ἴσθι ὅτι διὰ τὴν πολλὴν τῆς συνόδου φιλαδελφίαν δεδώκαμεν τούτοις μετανοίας καὶ τῆς τἀληθοῦς ἐπιγνώσεως χώραν τὴν μεγάλην καὶ ἱερατικὴν ἐν Ἀγκύρᾳ σύνοδον. διὸ σπούδασον οὖν πᾶσι τοῖς ὁμοψύχοις ἀδελφοῖς ταῦτα διαπέμψαι, ἵνα καὶ αὐτοὶ γνῶναι

9 ἐναργῶς] Syr. verwechselt es, wie häufig, mit ἐνεργῶς und übersetzt dies wie ἐξ ἔργων, vgl. Schw. z. St.

ܕܗܝܡܢܘ ܡܢ ܚܕܐ ܘܠܐ ܦܠܓܘ. ܥܠ ܗܠܝܢ ܡܠܐ ܕܡܠܝܢ ܐܢܫܝܢ ܕܟܬܒܘܢ ܘܕܟܬܒܘܢ. ܕܝܢ ܐܝܟ ܗܠܝܢ
ܕܟܢ ܥܠܝܢ ܡܠܝܠ ܟܡܢ. ܡܠܝܐ ܐܓܪܬܐ ܕܐܬܟܬܒܬ ܡܢ ܣܘܢܗܕܘܣ ܗܝ ܕܐܬܟܢܫܬ ܒܐܢܛܝܘܟܝܐ
ܠܘܬ ܐܠܟܣܢܕܪܘܣ ܐܦܝܣܩܘܦܐ ܕܪܘܡܝ ܚܕܬܐ. ܗܢܘ ܕܝܢ ܩܘܣܛܢܛܝܢܘܦܘܠܝܣ.

E

δύνωνται τὰ περὶ αὐτῶν καὶ τίνες εἰσὶν οἱ ἀποστάντες τῆς ἐκκλησίας καὶ μὴ συνθέμενοι. ἄσπασαι πάντας τοὺς ἀδελφοὺς τοὺς μεθ' ὑμῶν καὶ παρ' ὑμῖν. ἀσπάζονταί σε οἵδε οἱ ἀδελφοὶ οἱ μεθ' ἡμῶν ἐν κυρίῳ.

[Τέλος τῆς ἐπιστολῆς τῆς γραφείσης ὑπὸ τῆς ἐν 'Αντιοχείᾳ συναθροισθείσης συνόδου πρὸς 'Αλέξανδρον ἐπίσκοπον τῆς Νέας 'Ρώμης, τουτέστι δὲ Κωνσταντινουπόλεως.]

Urkunde 19.

Brief des Narciss von Neronias an Chrestus, Euphronius und Eusebius.

(Fragmente)

(325)

1. 'Εντυχὼν γὰρ Ναρκίσσου τοῦ Νερωνιάδος προεστῶτος ἐπιστολῇ, ἣν γέγραφεν πρὸς Χρῆστόν τινα καὶ Εὐφρόνιον καὶ Εὐσέβιον, ὡς 'Οσίου τοῦ ἐπισκόπου ἐρωτήσαντος αὐτόν, εἰ ὥσπερ Εὐσέβιος ὁ τῆς Παλαιστίνης δύο οὐσίας εἶναί φησιν οὕτως καὶ αὐτὸς λέγοι, ἔγνων αὐτὸν ἀπὸ τῶν γραφέντων τρεῖς εἶναι πιστεύειν οὐσίας ἀποκρινόμενον.

2. . . . μεταβαίνει ἐπὶ τὸν Νάρκισσον καί φησιν, ὥστε κἂν ἐκεῖνό τις λέγῃ κατασκευάζων πρῶτον εἶναι θεὸν καὶ δεύτερον, ὡς Νάρκισσος αὐταῖς λέξεσιν γέγραφεν (. . .), ὅτι μὲν αὐτὸς καὶ ὁ πατὴρ αὐτοῦ δύο εἰσίν, αὐτοῦ τοῦ κυρίου μαρτυροῦντος καὶ τῶν ἁγίων γραφῶν ἐκ μέρους ἠκούσαμεν. εἰ τοίνυν Νάρκισσος διὰ τοῦτο διαιρεῖν δυνάμει τὸν λόγον τοῦ πατρὸς ἐθέλοι, γνώτω ὅτι ὁ γράψας προφήτης ὡς τοῦ θεοῦ εἰρηκότος »ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν«, αὐτὸς γέγραφεν »καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον«.

1—4 Euseb c. Marc. I 4,39 (26,5—10) 5—10 Euseb c. Marc. I 4, 53—54 (28,33—29,6)

1 ff. Nr. 1 Marcellfrgm. 81 2 Ossius war Vorsitzender auf der Synode von Antiochien 325, Euseb v. Cäsarea dort angeklagt, vgl. Urk. 18, worüber Narciss als weiterer Angeklagter hier berichtet 3 Zu δύο οὐσίας vgl. Euseb Dem. ev. VI 1, 1 (251, 3) 5 ff. Nr. 2 Marcellfrgm. 80 | μεταβαίνει sc. Μάρκελλος 5/6 Vgl. Euseb Dem. ev. V 30, 3 (249, 4 f.) 9/10 Gen. 1, 26 f.

Urkunde 20.

Kaiser Konstantins Schreiben zur Einberufung der nicänischen Synode.

(Frühjahr 325)

ܐܓܪܬܐ ܕܡܠܟܐ ܩܘܣܛܢܛܝܢܘܣ ܕܦܩܕ ܠܐܦܝܣܩܘܦܐ ܡܢ ܐܢܩܘܪܐ ܠܢܝܩܝܐ.
ܕܠܝܬ ܠܝ ܡܕܡ ܕܝܩܝܪ ܒܥܝܢܝ ܡܢ ܕܚܠܬ ܐܠܗܐ ܡܬܝܕܥ ܐܢܐ ܕܠܟܠ ܐܝܟ ܓܠܝܐ.
ܡܛܠ ܕܝܢ ܕܣܘܢܗܕܘܣ ܕܐܦܝܣܩܘܦܐ ܒܐܢܩܘܪܐ ܕܓܠܛܝܐ ܡܫܠܡܐ ܗܘܐ ܟܡܢܝܢܐ ܕܬܗܘܐ. ܗܫܐ

A B E Schultheß (Abh. Gött. Ges. NF 10, 2 [1908]) 1

(Übersetzung von E. Schwartz NGG 1905, 289)

'Επιστολὴ βασιλέως Κωνσταντίνου κελεύοντος τοὺς ἐπισκόπους ἐξ 'Αγκύρας εἰς Νίκαιαν.

Τὸ μηδὲν ἐμὲ ἔχειν ὃ ἂν τιμιώτερον ᾖ ἐν τοῖς ὀφθαλμοῖς μου τῆς θεοσεβείας, παντὶ δῆλον εἶναι νομίζω. ἐπεὶ δὲ τὴν τῶν ἐπισκόπων σύνοδον ἐν 'Αγκύρᾳ τῆς Γαλατίας γενέσθαι

4 Vgl. Urk. 18 S. 40,17

a quibus nos diaboli quidem minister inpudens separavit, et ⟨ad⟩ vera nostra membra omni

1 quibus⟨cum⟩ Op. vgl. μεθ' ὧν Gr. | unum Ms. | admodum Op. ad dominum Ms. 2 suscepit Ms. 3 quecumque Ms. | dubieta⟨te⟩s Op. dubietas Ms. | ⟨et⟩ Op. vgl. καὶ Gel. | generaba⟨n⟩t Op. 4 seva Ms. | quidam] quedam Ms. 5 gredere Ms. 6 adque Ms. | eademque Ms. | que Ms. | divine Ms. 8 aput[1 2] Ms. 9 ⟨quam⟩ Op. vgl. ἣν Gr. | prestiterit Ms. | sententiam Op. vgl. γνώμην Gr. veniam Ms. vgl. Urk. 17 S. 33, 7 10 ⟨ad⟩ Op. vgl. ἐπὶ Gr.

autem fieret, ammonitione dei convocavi in nicaenam civitatem plurimos episcoporum, Par.
cum quibus sicut unus ex vobis ego, conservus vester supra modum esse gaudens, et ipse
veritatis examinationem recepi. dicta sunt igitur omnia et subtiliter examinata sunt, quae 4
dubitationem vel occasionem discordiae generare videbantur, et parcat divina maiestas,
qualia et quam acerba de nostro salvatore, de spe et de vita nostra indecenter aliqui blas-
phemizabant divinis scripturis et sanctae fidei contraria loquentes et credere confitentes.
trecentis igitur et pluribus episcopis, pudicitia et sagacitate mirandis, unam et eandem fidem, 5
quae et veritate divinae legis subtilis est fides, esse confirmantibus, solus Arrius manifestatus
est diabolica superatus operatione et hoc malum primum quidem apud vos, deinde et apud
alteros impia disseminans sententia. suscipiamus igitur quam omnipotens sententiam prae- 6
buit; redeamus ad dilectos nostros fratres, a quibus nos diaboli quidam inprobus minister

6 confitentes Schw. ὁμολογοῦντες Gr. confidentes Ms.

7 ἴωμεν. τοῦτο γὰρ καὶ τῇ ἀγχινοίᾳ καὶ τῇ πίστει καὶ τῇ ὁσιότητι τῇ ὑμετέρᾳ πρέπει, ἵνα
τῆς πλάνης ἐλεγχθείσης ἐκείνου, ὃν τῆς ἀληθείας ἐχθρὸν εἶναι συνέστηκε, πρὸς τὴν θείαν
8 ἐπανέλθητε χάριν. ὃ γὰρ τοῖς τριακοσίοις ὁμοῦ ἤρεσεν ἐπισκόποις, οὐδέν ἐστιν ἕτερον
ἢ τοῦ θεοῦ γνώμη, μάλιστα ὅπου γε τὸ ἅγιον πνεῦμα τοιούτων καὶ τηλικούτων ἀνδρῶν
9 ταῖς διανοίαις ἐγκείμενον τὴν θείαν βούλησιν ἐξεφώτισε. διὸ μηδεὶς ἀμφιβαλλέτω, μηδεὶς
ὑπερτιθέσθω, ἀλλὰ προθύμως πάντες εἰς τὴν ἀληθεστάτην ὁδὸν ἐπάνιτε, ἵν' ἐπειδὰν
ὅσον οὐδέπω πρὸς ὑμᾶς ἀφίκωμαι, τὰς ὀφειλομένας τῷ παντεφόρῳ θεῷ μεθ' ὑμῶν ὁμο-
λογήσω χάριτας, ὅτι τὴν εἰλικρινῆ πίστιν ἐπιδείξας τὴν εὐκταίαν ἡμῖν ἀγάπην ἀποδέδωκεν.
καὶ ἄλλῃ χειρί. ὁ θεὸς ὑμᾶς διαφυλάξει, ἀδελφοὶ ἀγαπητοί.

Ath. (BKO RE) Sokr. (MA FHC G) Gel. (a b c) Th. Ver. Par.

2 ὂν + καὶ Gel. | εἶναι ἐχθρὸν ∼ Sokr. 3 τριακοσίοις ὁμοῦ] ἁγίοις Gel. (ac) τριακοσίοις ἁγίοις Gel. (b) | τριακοσίοις + καὶ πρὸς Th. trecentis decem et octo Ver. | ὁμοῦ > Sokr. Th. Ver. | ἕτερόν ἐστιν ∼ Gel. (A^1) Th. 4 ἢ + μόνου τοῦ υἱοῦ Gel. | γε ὅπου ∼ Sokr. Th. | γε + καὶ Gel. Ver. 5 διὸ + καὶ Sokr. (M?) | διὸ μηδεὶς ἀμφιβαλλέτω > Ver. 6 ἐπανίητε Sokr. (M?) Gel. (Hb) 7 οὐδεπώποτε Gel. | παντεφόρῳ] παντοκράτορι Ver. 8 ὅτι + περ Gel. | ὑμῖν Sokr. 9 > Par. | καὶ ἄλλῃ χειρὶ > Sokr. Gel. Th. Ver. | διαφυλάξαι Ath. (O) Sokr. (MFHCG) διαφυλάξοι Ath. (BK) Sokr. (A) | ἀγαπητοὶ ἀδελφοί ∼ Sokr. Gel. (Hc) | ἀγαπητοί > Ver.

Ver. 7 studio ⟨redeamus⟩. hoc enim sollertiae, fidei et sanctitati convenit vestrae, quo⟨d⟩ illius errore
8 conprobato, quem inimicum constitit esse dei, ad divinam gratiam revertamini. quod enim
trecentis decem et octo placuit episcopis aliud nihil est nisi dei sententia, ubi praecipue et
sanctus spiritus tot ac talium virorum mentibus inpositam voluntatem divinam inluminave-
9 rit. quare nullus differat, sed prompto animo ad verissimam viam revertamini, ut quantum
*ea gratia ad vos pervenero, debitas omnipotenti deo vobiscum confitear gratias, quod
religiosam fidem demonstrans optabilem nobis tribuit caritatem. deus vos conservet, fratres.*
explicit epistula Constantini.

1 redeamus oder eamus Op. vgl. ἴωμεν Gr. mereamur Ms. | *vestre Ms.* | *quo⟨d⟩ Op.* *2 constit Ms.* 3 aliut Ms. | precipue Ms. 4 hac Ms.

Par. 7 separavit; ad commune corpus et propria nostra membra omni studio eamus. hoc enim
et sagacitati et fidei et sanctitati vestrae decet, ut errore convicto illius, quem veritatis
8 inimicum esse constitit, ad divinam redeatis gratiam. quod enim trecentis simul placuit
episcopis nihil est alterum quam dei sententia, maxime ubi sanctus spiritus talium et
9 tantorum virorum mentibus insitus divinam declaravit voluntatem. ideo ne quis dubitet,
ne quis differat, sed alacriter omnes in verissimam redite viam, ut quando ad vos celeriter
perveniam, debitas inspectori omnium deo vobiscum gratias confitebor, quod sinceram
fidem demonstrans optandam nobis reddidit caritatem.

Urkunde 26.

Brief Kaiser Konstantins an die Gemeinden über die nicänischen Beschlüsse zum Ostertermin.

(Juni 325)

Κωνσταντῖνος Σεβαστὸς ταῖς ἐκκλησίαις.

1 Πεῖραν λαβὼν ἐκ τῆς τῶν κοινῶν εὐπραξίας, ὅση τῆς θείας δυνάμεως πέφυκε χάρις, τοῦτόν γε πρὸ πάντων ἔκρινα εἶναί μοι σκοπόν, ὅπως παρὰ τοῖς μακαριωτάτοις τῆς

Euseb vita Const. III 17 (VI MBA) Sokr. I 9,32 (MAFHCG) Theod. h. e. I 10,1 (A n s z) Gel. II 37,10 (a b c) Th.

1 Κωνσταντῖνος + Νικητὴς Μέγιστος Eus. (V) | ἐκκλησίαις + καὶ ἐπισκόποις τοῖς τῆς ἁγίας καὶ μεγάλης ἐν Νικαίᾳ συνόδου ἀπολειφθεῖσι χαίρειν Gel. 2 ἡ χάρις Theod. (SDL) Th. 3 γε πρὸ Hkl. Parm. τε πρὸ Sokr. Theod. (Av) Th. καὶ πρὸ Gel. πρό γε Eus. πρὸ Theod. (nsDL) | μοι + προσήκειν alle Hss. (σκοπὸν προσήκειν ∼ Gel.)

καθολικῆς ἐκκλησίας πλήθεσι πίστις μία καὶ εἰλικρινὴς ἀγάπη ὁμογνώμων τε περὶ τὸν
παγκρατῆ θεὸν εὐσέβεια τηρῆται. ἀλλ' ἐπειδὴ τοῦτο οὐχ οἷόν τε ἦν ἀκλινῆ καὶ βεβαίαν 2
τάξιν λαβεῖν, εἰ μὴ εἰς ταὐτὸν πάντων ὁμοῦ ἢ τῶν γοῦν πλειόνων ἐπισκόπων συνελθόν-
των ἑκάστου τῶν προσηκόντων τῇ ἁγιωτάτῃ θρησκείᾳ διάκρισις γένοιτο, τούτου ἕνεκεν
πλείστων ὅσων συναθροισθέντων (καὶ αὐτὸς δὲ καθάπερ εἷς ἐξ ὑμῶν ἐτύγχανον συμπαρών·
οὐ γὰρ ἀρνησαίμην ἄν, ἐφ' ᾧ μάλιστα χαίρω, συνθεράπων ὑμέτερος πεφυκέναι) ἄχρι
τοσούτου ἅπαντα τῆς προσηκούσης τετύχηκεν ἐξετάσεως, ἄχρις οὗ ἡ τῷ πάντων ἐφόρῳ
θεῷ ἀρέσκουσα γνώμη πρὸς τὴν τῆς ἑνότητος συμφωνίαν εἰς φῶς προήχθη, ὡς μηδὲν
ἔτι πρὸς διχόνοιαν ἢ πίστεως ἀμφισβήτησιν ὑπολείπεσθαι.

Ἔνθα καὶ περὶ τῆς τοῦ πάσχα ἁγιωτάτης ἡμέρας γενομένης ζητήσεως ἔδοξε κοινῇ 3
γνώμῃ καλῶς ἔχειν ἐπὶ μιᾶς ἡμέρας πάντας τοὺς ἁπανταχοῦ ⟨Χριστιανοὺς⟩ ἐπιτελεῖν
⟨τὸ πάσχα⟩. τί γὰρ ἡμῖν κάλλιον, τί δὲ σεμνότερον ὑπάρξαι δυνήσεται τοῦ τὴν ἑορτὴν
ταύτην, παρ' ἧς τὴν τῆς ἀθανασίας εἰλήφαμεν ἐλπίδα, μιᾷ τάξει καὶ φανερῷ λόγῳ παρὰ
πᾶσιν ἀδιαπτώτως φυλάττεσθαι; καὶ πρῶτον μὲν ἀνάξιον ἔδοξεν εἶναι τὴν ἁγιωτάτην
ἐκείνην ἑορτὴν τῇ τῶν Ἰουδαίων ἑπομένους συνηθείᾳ πληροῦν, οἳ τὰς ἑαυτῶν χεῖρας
ἀθεμίτῳ πλημμελήματι χράναντες εἰκότως τὰς ψυχὰς οἱ μιαροὶ τυφλώττουσιν. ἔξεστι
γὰρ τοῦ ἐκείνων ἔθνους ἀποβληθέντος ἀληθεστέρᾳ τάξει, ἣν ἐκ πρώτης τοῦ πάθους ἡμέρας
ἄχρι τοῦ παρόντος ἐφυλάξαμεν, καὶ ἐπὶ τοὺς μέλλοντας αἰῶνας τὴν τῆς ἐπιτηρήσεως
ταύτης συμπλήρωσιν ἐκτείνεσθαι. μηδὲν τοίνυν ἔστω ἡμῖν κοινὸν μετὰ τοῦ ἐχθίστου 4
τῶν Ἰουδαίων ὄχλου. εἰλήφαμεν γὰρ παρὰ τοῦ σωτῆρος ἑτέραν ὁδόν, πρόκειται δρόμος
τῇ ἱερωτάτῃ ἡμῶν θρησκείᾳ καὶ νόμιμος καὶ πρέπων· τούτου συμφώνως ἀντιλαμβανό-
μενοι τῆς αἰσχρᾶς ἐκείνης ἑαυτοὺς συνηθείας ἀποσπάσωμεν, ἀδελφοὶ τιμιώτατοι. ἔστι 5
γὰρ ὡς ἀληθῶς ἀτοπώτατον ἐκείνους αὐχεῖν, ὡς ἄρα παρεκτὸς τῆς αὐτῶν διδασκαλίας
ταῦτα φυλάττειν οὐκ εἴημεν ἱκανοί. τί δὲ φρονεῖν ὀρθὸν ἐκεῖνοι δυνήσονται, οἳ μετὰ τὴν
κυριοκτονίαν τε καὶ πατροκτονίαν ἐκείνην ἐκστάντες τῶν φρενῶν ἄγονται οὐ λογισμῷ
τινι, ἀλλ' ὁρμῇ ἀκατασχέτῳ, ὅπη δ' ἂν αὐτοὺς ἡ ἔμφυτος αὐτῶν ἀπάγῃ μανία; ἐκεῖθεν
τοίνυν κἂν τούτῳ τῷ μέρει τὴν ἀλήθειαν οὐχ ὁρῶσιν, ὡς ἀεὶ κατὰ τὸ πλεῖστον αὐτοὺς

11 Vgl. Conc. Arel. prim. Can. I (Lauchert S. 26,20) 25 Vgl. zu κυριοκτονία I. Thess. 2,15

Eus. (V I MBA) Sokr. (MA FHC G) Theod. (A n s z) Gel. (a b c) Th.

1 ἀγάπη] ἂν εἴη Sokr. (A) 2 εὐσέβεια περὶ τὸν παντοκράτορα θεὸν ~ Gel. | τετήρηται Sokr. (M) | τοῦτο + ἑτέρως Sokr Theod. Gel. Th 3 ταὐτὸ Eus. (IBMA) Sokr. Gel. (P²) | ἤγουν τῶν ~ Theod. (n) Gel. 4 θρησκείᾳ] ἐκκλησίᾳ Eus. (M) Th. 5 συναθροισθέντων + ἐν ταύτῃ τῇ Νικαέων πόλει θεοφιλεστάτων ἐπισκόπων Gel. | δὲ + ἐγὼ Gel. | ἐτύγχανον] τυγχάνων (+ καὶ Sokr. A) Sokr. (MA) Theod. (AnsLv) Gel. Th. > Sokr. (FHCG) 6 ἀρνήσοιμι Gel. (ab) 7 τῷ] τῶν Sokr. (H) Theod. (ND) | τῷ + τῶν Sokr. (MAFCG) | παντεφόρῳ Gel. Th. 8 θεῷ > Sokr. (FHCG) 9 ἀμφισβήτησιν + τι Gel. Hss. 10 τῆς > Sokr. (M) | ἁγιωτάτης τοῦ πάσχα ἡμέρας ~ Theod. (An) 11 ⟨Χριστιανοὺς⟩ und ⟨τὸ πάσχα⟩ Op. | τοὺς ἁπανταχόσε Χριστιανοὺς τὴν σωτήριον ἑορτὴν ἐπιτελεῖν τοῦ ἁγιωτάτου πάσχα Gel. | τελεῖν Theod. (nsz) 12 τοῦ] ἢ τοῦ Theod. (A) Th. 13 ἀθανασίας] ἀληθείας Gel. 14 εἶναι + τὸ Gel. 15 ἑορτὴν ἐκείνην ~ Gel. 17 ἔθους Eus. (I) Theod. (SL) Gel. (a c) Val. 18 ἄχρι] μέχρι Sokr. Theod. Gel. Th. 19 ἐκτείνεσθαι] ἐγγίνεσθαι Sokr. Theod. Gel. γίνεσθαι Th. | ἡμῖν] ὑμῖν Eus. (VBA) Sokr. | ἔστω + κοινὸν Gel. (c). | κοινὸν > Theod. (sv) Gel. (ab) 20 γὰρ > Sokr. Gel. Th. | πρόκειται + γὰρ Sokr. 21 τῆς ἱερωτάτης ἡμῶν θρησκείας Th. | πρέπων καὶ νόμιμος ~ Theod. (nsz) | νόμιμος καὶ πρέπων] νόμος πρέπων Gel. | πρέπων + κανὼν Sokr. (M^c) | τούτου] τούτῳ. οὗ Sokr. (M^cAFHCG) τούτῳ Sokr. (M) 22 συνηθείας Jülicher (vgl. Z. 15) συνειδήσεως alle Hss. συνελεύσεως, συνδέσεως Hkl. συνεθίσεως Wendland 23 ὡς¹ > Gel. | αὐχεῖν + καθ' ἡμῶν Gel. 24 εἴημεν] ἦμεν Eus. (I) Sokr. Gel. (ac) | ὀρθῶς Gel. | ἐκεῖνοι ὀρθὸν ~ Sokr. (MFHCG) 25 τε καὶ πατροκτονίαν > Sokr. Theod. Gel. Th. 26 ὅπη] ὅποι Eus. (A) ὅπου Sokr. Theod. Gel. Th. | δ' ἂν] ἂν Eus. (I) Theod. Sokr. Gel. Th. | ἀπάγῃ] ἀπάγει Theod. (A) Sokr. (A) ἄγει Theod. (s) ἀπάγοι Gel. ἀγάγοι Th. ἀγάγῃ Eus. Sokr. (G) 27 κἂν] καὶ ἐν Gel. | ὁρῶντας Eus. (I) ὁρῶντας Sokr. (M^c) | ἀεὶ] δεῖ Eus. (VMB) δὴ Eus. (A) | κατὰ + πάθος Sokr. (M^c, ich vermute, daß M 'τὸ' las und πλεῖστον ausließ, denn für dies Wort ist kein Platz.) | τὸ > Sokr. | πλεῖστον] πάθος Eus. (I)

πλανωμένους ἀντὶ τῆς προσηκούσης ἐπανορθώσεως ἐν τῷ αὐτῷ ἔτει δεύτερον τὸ πάσχα
6 ἐπιτελεῖν. τίνος οὖν χάριν τούτοις ἑπόμεθα, οὓς δεινὴν πλάνην νοσεῖν ὡμολόγηται;
δεύτερον γὰρ τὸ πάσχα ἐν ἑνὶ ἐνιαυτῷ οὐκ ἄν ποτε ποιεῖν ἀνεξόμεθα. ἀλλ' εἰ καὶ ταῦτα
μὴ προὔκειτο, τὴν ὑμετέραν ἀγχίνοιαν ἐχρῆν καὶ διὰ σπουδῆς καὶ δι' εὐχῆς ἔχειν πάντοτε,
ἐν μηδενὸς ὁμοιότητι τὸ καθαρὸν τῆς ὑμετέρας ψυχῆς κοινωνεῖν δοκεῖν ἀνθρώπων ἔθεσι
παγκάκων.
7 Πρὸς τούτοις κἀκεῖνο πάρεστι συνορᾶν, ὡς ἐν τηλικούτῳ πράγματι καὶ τοιαύτης
8 θρησκείας ἑορτῇ διαφωνίαν ὑπάρχειν ἐστὶν ἀθέμιτον. μίαν γὰρ ἡμῖν τὴν τῆς ἡμετέρας
ἐλευθερίας ἡμέραν τουτέστιν τὴν τοῦ ἁγιωτάτου πάθους ὁ ἡμέτερος παρέδωκε σωτήρ,
μίαν εἶναι τὴν καθολικὴν αὐτοῦ ἐκκλησίαν βεβούληται, ἧς εἰ καὶ τὰ μάλιστα εἰς πολλούς
τε καὶ διαφόρους τόπους τὰ μέρη διῄρηται, ἀλλ' ὅμως ἑνὶ πνεύματι τουτέστι τῷ θείῳ
9 βουλήματι θάλπεται. λογισάσθω δὲ ἡ τῆς ὑμετέρας ὁσιότητος ἀγχίνοια ὅπως ἐστὶ
δεινόν τε καὶ ἀπρεπὲς κατὰ τὰς αὐτὰς ἡμέρας ἑτέρους μὲν ταῖς νηστείαις σχολάζειν, ἑτέρους
δὲ συμπόσια ἐπιτελεῖν, καὶ μετὰ τὰς τοῦ πάσχα ἡμέρας ἄλλους μὲν ἐν ἑορταῖς καὶ ἀνέσεσιν
ἐξετάζεσθαι, ἄλλους δὲ ταῖς ὡρισμέναις ἐκδεδόσθαι νηστείαις. διὰ τοῦτο γοῦν τῆς προση-
κούσης ἐπανορθώσεως τυχεῖν καὶ πρὸς μίαν διατύπωσιν ἄγεσθαι τοῦτο ἡ θεία πρόνοια
βούλεται, ὡς ἔγωγε ἅπαντας ἡγοῦμαι συνορᾶν.
10 Ὅθεν ἐπειδὴ τοῦτο οὕτως ἐπανορθοῦσθαι προσῆκεν, ὡς μηδὲν μετὰ τῶν πατρο-
κτόνων τε καὶ κυριοκτόνων ἐκείνων εἶναι κοινόν, ἔστι δὲ τάξις εὐπρεπής, ἣν ἅπασαι
αἱ τῶν δυτικῶν τε καὶ μεσημβρινῶν καὶ ἀρκτῴων τῆς οἰκουμένης μερῶν παραφυλάττουσιν
ἐκκλησίαι καί τινες τῶν κατὰ τὴν ἑῴαν τόπων, οὗ ἕνεκεν ἐπὶ τοῦ παρόντος καλῶς ἔχειν
ἅπαντες ἡγήσαντο καὶ αὐτὸς δὲ τῇ ὑμετέρᾳ ἀγχινοίᾳ ἀρέσειν ὑπεσχόμην, ἵν' ὅπερ δ'
ἂν κατὰ τὴν Ῥωμαίων πόλιν Ἰταλίαν τε καὶ Ἀφρικὴν ἅπασαν, Αἴγυπτον, Σπανίας,

---

1 Hier ist derselbe Zustand bezeichnet, der aus der Schrift des Petrus von Alexandrien gegen Tricentius bekannt ist (Chron. Pasch. S. 7 Dind.): die Juden feierten unter Umständen auch vor der Tagundnachtgleiche das Passah. Vgl. auch Epiph. haer. 70,11,6 (III, 244,26ff.) 19f. Dieselbe Reihenfolge bei Euseb de solemnitate paschae 8 (Mai, Nova Patr. Bibl. IV, 214)

Eus. (V I MBA) Sokr. (MA FHC G) Theod. (A n s z) Gel. (a b c) Th. S. 56, 19 ἔστι — S. 57, 6 κοινωνίαν auch bei Sokr. V 22,25—27 = Sokr.[2] (MA FHC G)

---

1 ἐν > Eus. (VMBA) | ἔτει] ἔτι Th. | δεύτερον + αὐτοὺς Gel. 2 οἳ — ὡμολόγηνται Eus. (I) Sokr. Theod. Th. τοῖς — ὡμολογημένως ἔχουσιν Gel. | νοσεῖν > Gel. 3 γὰρ] γε Sokr. | ἐν > Eus. (VMBA) | ἐν ἑνὶ > Sokr. (A) 3/4 καὶ μὴ ταῦτα ∼ Th. 4 καὶ[1] — ἔχειν > Gel. (ab) d. h. in der Vorlage, also c interpoliert. | δι' > Theod. 5 μηδενὸς] μηδεμιᾷ Eus. (VMBA) | ὁμοιώματι Theod. (AnsLv) | ὁμοιότητι + ἐκείνων Gel. | ἡμετέρας Sokr. (MFHCG) Theod. (sz) Gel. Hss. | δοκεῖν] δοκεῖ Theod. (AF) Gel. (P[2]) ἢ δοκεῖν Sokr. ἢ δοκεῖν ἕπεσθαι Eus. (I) Sokr. (M[c]) > Theod. (nG) | ἔθεσι] αἰσθήσει Gel. (ab) 7 πρὸς > Eus. Hss. | κἀκείνω Th. | τοιαύτῃ Eus. (IMBA) Theod. (ns) 8 ἀθέμιτον] ἀθεώτατον Eus. (I) Sokr. | ἡμῖν] ἑορτὴν Eus. (MBA) > Theod. (A) 9 τὴν > Theod. (NL) Gel. 10 καὶ μίαν Eus. Hss. | ἧς > Gel. (ab Loe.) 11 τε > Eus. Hss. | μέρη] μέλη Gel. | διῄρηται] διῄρηνται Eus. (I) διεῖρκται Sokr. (A) συνάγοιτο Gel. (ab) | ἑνὶ] ἐν Eus. Hss. Sokr. (M) Theod. (ns) ἐν ἑνὶ Theod. (Az) Gel. 12 δὲ] δὴ Gel. | ἡμετέρας Sokr. (AHC) 13 ἑτέρους — 14 ἡμέρας > Eus. (V) Sokr. (HC) 14 ἐπιτελεῖν] τελεῖν Sokr. (MFG) ἐπιτελεῖν corr. aus τελεῖν Gel. (H) ἐκτελεῖν Th. συντελεῖν Eus. Theod. vgl. S. 55,11 | ἐν > Sokr. Theod. (ALv) Th. 15 ἐκδίδοσθαι Gel. 16 τοῦτο] ταῦτα Sokr. (M[c]) 17 ἅπαντας ἡγοῦμαι συνορᾶν] ἀπαθῶς συνορῶ Eus. (I) ἀπαθῶς συνορῶ Sokr. (M[c]) | ἡγοῦμαι > Sokr. (MFHCG) 18 μετὰ + τοῦ Eus. 19 ἐκείνων + ἔθνους Eus. (VMB) ἔθους Eus. (A) | εἶναι ἡμῖν κοινόν Gel. (c Loe.) vgl. Theod. (z) ἡμῖν κοινὸν Gel. (ab) εἶναι κοινωνόν Th. | δὲ] τε Sokr.[1] Sokr.[2] (AFHCG) Theod. (Ansv) Th. τις Sokr.[2] (M[c] τε καὶ M ?) 19/20 ἅπασαι αἱ] ἅπασαι Eus. (I) Sokr.[1] 20 τε > Sokr.[2] (GH) Gel. μὲν Sokr.[2] (MAFC) | μερῶν τῆς οἰκουμένης ∼ Sokr.[2] | φυλάττουσιν Gel. 21 αἱ ἐκκλησίαι Sokr.[1] vgl. Z. 20 | καὶ] ἣν Gel. | τόπων + οὐ προσίενται Gel. | οὗ] ὧν Eus. (I) Sokr.[1] Theod. Gel. Th. 22 ὑμετέρᾳ] ἡμετέρᾳ Eus. (MBA) Sokr.[1] (C ἡ aus ὑ) Gel. (H) | ἀρέσκειν Theod. (An) Gel. ἀρέσιν Sokr.[1] (M) Th. ἀρέσαι Sokr.[1] (A) 22/23 δ'ἂν] ἂν Sokr.[1] (FHCG) Theod. (nV) 23 τὴν + τῶν Eus. (MBA) Sokr.[1] (A) Theod. (sL) | τε πόλιν Th. | τε > Theod. (D) Th. | Ἀφρικὴν + καὶ Sokr.[2] | Σπανίαν Eus. (MBA) Gel. (HV[1]c) Ἱσπανίας Sokr.[1] (M[c]AF HCG) Sokr.[2] Theod. (A)

Γαλλίας, Βρεττανίας, Λιβύας, ὅλην Ἑλλάδα, Ἀσιανήν τε διοίκησιν καὶ Ποντικὴν καὶ
Κιλικίαν μιᾷ καὶ συμφώνῳ φυλάττεται γνώμῃ, ἀσμένως τοῦτο καὶ ἡ ὑμετέρα προσδέξηται
σύνεσις, λογιζομένη ὡς οὐ μόνον πλείων ἐστὶν ὁ τῶν κατὰ τοὺς προειρημένους τόπους
ἐκκλησιῶν ἀριθμός, ἀλλὰ καὶ ὡς τοῦτο μάλιστα κοινῇ πάντας ὁσιώτατόν ἐστι βούλεσθαι
ὅπερ καὶ ὁ ἀκριβὴς λόγος ἀπαιτεῖν δοκεῖ, καὶ οὐδεμίαν μετὰ τῆς Ἰουδαίων ἐπιορκίας
ἔχειν κοινωνίαν. ἵνα δὴ τὸ κεφαλαιωδέστατον συντόμως εἴπω, κοινῇ πάντων ἤρεσε 11
κρίσει τὴν ἁγιωτάτην τοῦ πάσχα ἑορτὴν μιᾷ καὶ τῇ αὐτῇ ἡμέρᾳ συντελεῖσθαι. οὐδὲ γὰρ
πρέπει ἐν τοσαύτῃ ἁγιότητι εἶναί τινα διαφοράν, καὶ κάλλιον ἕπεσθαι τῇ γνώμῃ ταύτῃ,
ἐν ᾗ οὐδεμία ἔσται ἀλλοτρίας πλάνης καὶ ἁμαρτήματος ἐπιμιξία.
Τούτων οὖν οὕτως ἐχόντων ἀσμένως δέχεσθε τὴν οὐρανίαν χάριν καὶ θείαν ὡς 12
ἀληθῶς ἐντολήν· πᾶν γὰρ ὅ, τι δ'ἂν ἐν τοῖς ἁγίοις τῶν ἐπισκόπων συνεδρίοις πράττηται,
τοῦτο πρὸς τὴν θείαν βούλησιν ἔχει τὴν ἀναφοράν. διὸ πᾶσι τοῖς ἀγαπητοῖς ἡμῶν
ἀδελφοῖς ἐμφανίσαντες τὰ προγεγραμμένα, ἤδη καὶ τὸν προειρημένον λόγον καὶ τὴν
παρατήρησιν τῆς ἁγιωτάτης ἡμέρας ὑποδέχεσθαί τε καὶ διατάττειν ὀφείλετε, ἵν' ἐπειδὰν
πρὸς τὴν πάλαι μοι ποθουμένην τῆς ὑμετέρας διαθέσεως ὄψιν ἀφίκωμαι, ἐν μιᾷ καὶ τῇ
αὐτῇ ἡμέρᾳ τὴν ἁγίαν μεθ' ὑμῶν ἑορτὴν ἐπιτελέσαι δυνηθῶ καὶ πάντων ἕνεκεν μεθ' ὑμῶν
εὐδοκήσω, συνορῶν τὴν διαβολικὴν ὠμότητα ὑπὸ τῆς θείας δυνάμεως διὰ τῶν ἡμετέρων
πράξεων ἀνῃρημένην, ἀκμαζούσης πανταχοῦ τῆς ὑμετέρας πίστεως καὶ εἰρήνης καὶ
ὁμονοίας. ὁ θεὸς ὑμᾶς διαφυλάξει, ἀδελφοὶ ἀγαπητοί.

Zu 11 vgl. den Brief Konstantins an die Synode von Arles: Optati Opera App. V (CSEL 26,209,23ff.): Sacerdotum iudicium ita debet haberi ac si ipse Dominus residens iudicet. Nihil enim licet his aliud sentire vel aliud iudicare nisi quod Christi magisterio sunt edocti, und Urk. 25 S. 54,4 14 Der Brief ist also an Bischöfe geschrieben. Vgl. S. 55,22; 57,12

Eus. (V I MBA) Sokr. (MA FHC G) Theod. (A n s z) Gel. (a b c) Th.

S. 56,23 — S. 57,1 liest Gel.: Ἰταλίαν τε καὶ Ἀφρικὴν πᾶσαν Σπανίαν τε καὶ Γαλλίαν (+ καὶ A^{1}M^{2}P^1) Βρεττανίας, Αἴγυπτόν τε καὶ Λιβύας, Ἑλλάδα τε ὅλην Ἀσιανήν τε διοίκησιν 1 Γαλίαν Gel. Hss. | Βρετανίας Theod. (DF) Gel. (aV^1) Th. Βριττανίας Sokr.^{1} (A) Sokr.^{2} (FCG) | Λιβύην Sokr.^{1} (AFHCG) Theod. (HG) Gel. (H M^2 P^1) Th. | καὶ Ποντικὴν διοίκησιν ~ Th. 2 καὶ^1 + τῇ αὐτῇ Gel. | φυλάττηται Eus. (Hkl.) Sokr.^{1} (FHCG) Theod. (AnsDV) φυλάττεσθαι Sokr.^{2} 3 ὡς οὐ] μὴ Sokr.^{2} | ὡς πλείων Sokr.^{2} | πλεῖον Eus. (IMB) Sokr.^{1} (MAHC) Theod. (AG) Th. | ὁ τῶν > Sokr.^{2} 4 βουλεύεσθαι Gel. (bc) 5 ἀκριβὴς] εὐσεβὴς Theod. (sLv) | ἀπαιτεῖν δοκεῖ λόγος ~ Sokr.^{1} | λόγος] λογισμὸς Theod. Gel. Th. | καὶ οὐδεμίαν] τὸ μηδεμίαν Gel. 6 σχεῖν Gel. ἔχει Eus. (Hkl.) Sokr.^{1} (M) Theod. (HSz) | κοινωνίαν ἔχειν ἐπιορκίας ~ Th. | δὴ] δὲ Sokr. (F) | τὸ κεφαλαιοδέστερον Eus. (IMBA) Gel. (P3) Th. 8 τοιαύτῃ Sokr. | τινα > Th. 9 ἔσται] ἐστι Eus. (IMBA) Theod. (nsz) Gel. 10 τούτων—ἐχόντων] τούτων οὕτως θείᾳ κρίσει διὰ τῶν τοσούτων καὶ τηλικούτων ἁγίων ἐπισκόπων διατυπωθέντων Gel. | οὖν > Sokr. Theod. Th. | ἐχόντων] στοιχούντων Sokr. (AFHCG) Theod. Th. | δέχεσθαι Eus. (V) Sokr. (G) δέξασθαι Theod. (D) | οὐρανίαν] οὐράνιον Theod. Gel. τοῦ θεοῦ Eus. (VBMA) | χάριν > Eus. (I) Sokr. (MFHCG) 11 ὅ, τι] εἴτι Eus. Hss. | δ'ἂν] ἂν Theod. (An) | πράττονται Eus. (MB) ἐπράχθη Gel. 12 τὴν ἀναφορὰν ἔχει ~ Gel. 13 προγεγραμμένα] πεπραγμένα Eus. (IMBA) | προειρημένον + τῆς καθολικῆς πίστεως Gel. Th. 14 ἁγιωτάτης + τοῦ πάσχα Gel. Th. | διατάττειν] διαπράττειν Gel. (bc) 17 συνευδοκήσω Sokr. (A) | ἡμετέρων] ὑμετέρων Eus. Hss. Gel. (A^{1}P3 corr. aus ἡμετ.) 18 ἀκμαζούσης + δὲ Gel. | ὑμετέρας] ἡμετέρας Eus. Hss. Theod. Gel. Th. 19 ὁμονοίας + εὐχαριστηρίους ὕμνους μεθ' ὑμῶν ἀναπέμψω τῷ πανευεργέτῃ καὶ σωτῆρι θεῷ Gel. | διαφυλάξοι Eus. (IMBA) Theod. (Gz) Sokr. (HC) Gel. (A^1) | ἀγαπητοὶ ἀδελφοί ~ Theod. (A) Gel. (c) | ἀδελφοί + μου Theod. (H) Gel. (A^1)

Urkunde 27.

Brief Kaiser Konstantins an die Gemeinde von Nikomedien.

(Nov.-Dez. 325)

Κωνσταντῖνος Σεβαστὸς τῇ καθολικῇ ἐκκλησίᾳ Νικομηδέων.
1 Τὸν δεσπότην θεὸν δηλαδὴ καὶ σωτῆρα Χριστὸν ἀκριβῶς ἅπαντες ἴστε, ἀγαπητοὶ
ἀδελφοί, πατέρα τε καὶ υἱὸν εἶναι, πατέρα φημὶ ἄναρχον ἄνευ τέλους γονέα τοῦ αἰῶνος
αὐτοῦ, υἱὸν δέ τοῦτ' ἔστι τὴν τοῦ πατρὸς βούλησιν, ἥτις οὔτε δι' ἐνθυμήσεώς τινος
ἀνείληπται οὔτε πρὸς τὴν τῶν ἔργων αὐτοῦ τελεσιουργίαν διά τινος ἐξεζητημένης
οὐσίας κατελήφθη. ὃς γὰρ τοῦτο καὶ νοεῖ καὶ νοήσει, οὗτος ἕξει πρὸς ἅπαν τιμωρίας
2 γένος ἀκάματον ὑπομονήν. ἀλλὰ γὰρ ὁ τοῦ θεοῦ υἱὸς Χριστὸς ὁ τῶν ἁπάντων δημι-
ουργὸς καὶ τῆς ἀθανασίας αὐτῆς χορηγὸς ἐγεννήθη, ὅσον πρὸς τὴν πίστιν ἀνῆκεν ᾗ
πεπιστεύκαμεν, ἐγεννήθη — μᾶλλον δὲ προῆλθεν αὐτὸς ὁ καὶ πάντοτε ἐν τῷ πατρὶ ὢν
ἐπὶ τὴν τῶν ὑπ' αὐτοῦ γεγενημένων διακόσμησιν — ἐγεννήθη τοίνυν ἀμερίστῳ προε-
λεύσει· ἡ γὰρ βούλησις ὁμοῦ καὶ τῷ οἰκητηρίῳ ἑαυτῆς ἐμπέπηγε καὶ ταῦθ', ἅπερ δια-
3 φόρου δέεται τημελείας, κατὰ τὴν ἑκάστου ποιότητα πράττει τε καὶ διοικεῖ. τί οὖν
ἐστι μεταξὺ τοῦ θεοῦ καὶ πατρὸς καὶ υἱοῦ; οὐδὲν δηλαδή. αὕτη γὰρ ἡ τῶν πραγμάτων
συμπλήρωσις αἰσθήσει παρείληφε τὸ τῆς βουλήσεως πρόσταγμα, οὐχὶ δὲ μερισθεῖσαν
4 ἐκ τῆς τοῦ πατρὸς οὐσίας τὴν βούλησιν διέστησεν. ὃ δὲ τούτοις ἕπεται· τίς ἐστιν, ὃς
τοῦ Χριστοῦ τοῦ ἐμοῦ δεσπότου πάθος δι' αἰδῶ μᾶλλον ἢ μωρίαν δέδιεν; ἆρ' οὖν πάσχει
τὸ θεῖον, ἐπειδὰν ἡ τοῦ σεμνοῦ σώματος οἴκησις πρὸς ἐπίγνωσιν τῆς ἰδίας ἁγιότητος
ὁρμᾷ, ἢ ὑποπίπτει θίξει τὸ τοῦ σώματος ἐκκεχωρισμένον; ἆρ' οὐχὶ διέστηκε τοῦθ' ὅπερ
ἐκ τῆς τοῦ σώματος ἀφῄρηται ταπεινότητος; οὐχὶ δὲ ζῶμεν, κἂν πρὸς θάνατον ἡ τῆς

4 Vgl. Origenes de princ. I 2,6 (35,4)   16ff. Siehe unten Urk. 34, 39ff. (S. 73, 6)

Ath. de decr. nic. (BK RE) Gel. III Anhang I. (a b c) Par.

4 τὴν nachgetragen Ath. (E) | οὔτε] οὐδὲ Ath. (RE)   5 ἐξεζητημένος Ath. (BKR)   8 τὴν > Gel. (ac) | ἀνῆκεν > Ath. (E)   9 ὁ > Gel.   11 αὐτῆς Gel.   12 τημελείας] ἐπιμελείας Gel.   13 ἔστι + τι Gel. Par. | καὶ[1]] τοῦ Gel. Par. | καὶ[2] + τοῦ Gel. | αὐτή = ipsa Par.   14 μερισθεῖσα Ath. Gel. Hss.   16 πάθος Hkl.] ὀπαδὸς Ath. Par. παιδὸς Gel. Hss. | δέδειεν Ath. (RE)   17 οἴκησις — 18 σώματος > Ath. (R)

Par. Acta conc. oec. IV 2 p. 102

Constantinus Augustus catholicae ecclesiae Nicomedensium.
1 Dominum deum scilicet et salvatorem Christum suptiliter omnes cognoscitis, dilecti
fratres, patrem et filium esse, patrem dico sine principio sine fine generatorem saeculi ipsius,
filium autem, hoc est voluntatem patris, quae nec per cogitationem aliquam recepta est,
nec ad perfectionem operum per aliquam exquisitam substantiam deprehensa est. qui
enim hoc et intellegit et intellexerit, iste habebit ad omne genus poenae inlassabilem patien-
2 tiam. sed enim dei filius Christus, opifex omnium et ipsius inmortalitatis dator, genitus
est, quantum pertinet ad fidem cui credidimus, natus est, magis autem processit ipse qui
et semper in patre est, ad condecorationem illorum, quae ab ipso facta sunt. genitus est
igitur individua processione; voluntas enim et in habitaculo suo simul fixa est et ista, quae
3 diverso indigent cultu, secundum uniuscuiusque qualitatem et agit et administrat. quid
igitur? est aliquid inter deum patrem et filium? nihil scilicet; ipsa enim rerum plenitudo
sensu accepit voluntatis praeceptum, non autem divisam ex patris substantia voluntatem
4 separavit. quod autem ista sequitur, quis est qui Christi mei domini sequax per reveren-
tiam magis vel stultitiam reformidat? igiturne patitur numen, cum venerabilis corporis
habitatio ad cognitionem suae sanctitatis ruit, vel tactui succidit illud, quod corpore superius
est? nonne distat hoc, ⟨quod e⟩ corporis humilitate ablatum est? non autem vivimus, licet
ad mortem animae gloria corpus advocaverit?

10 quae = ἅπερ Gr] qua Ms. corr. Schw.   15 nomen Ms. corr. Loe   17 ⟨quod e⟩ u. humilitate Schw. humilitati Ms.

ψυχῆς εὔκλεια τὸ σῶμα προσκαλέσηται; τί τοίνυν ἐνταῦθα ἡ ἀβλαβής τε καὶ εἰλικρινὴς 5
πίστις ἄξιον ἀμφιβολίας κατείληφεν; ἢ οὐχ ὁρᾷς ὅτι σεμνότατον σῶμα ὁ θεὸς ἐπελέξατο,
δι' οὗ τὰ τῆς πίστεως τεκμήρια καὶ τὰ τῆς οἰκείας ἀρετῆς ὑποδείγματα ἔμελλεν ἐμφανίζειν
καὶ τὴν ἤδη συγκεχυμένην ὀλεθρίῳ πλάνῃ τοῦ ἀνθρωπίνου γένους ἀπώλειαν ἀποσείσασθαι
καινήν τε θρησκείας διδόναι διδασκαλίαν καὶ τῷ τῆς ἁγνείας ὑποδείγματι τὰς ἀναξίας
τοῦ νοῦ πράξεις καθαίρειν, ἔπειτα δὲ τὴν μὲν τοῦ θανάτου βάσανον ἐκλύειν, τὰ δὲ τῆς
ἀθανασίας ἔπαθλα προαναφωνεῖν;

'Αλλ' ὑμεῖς, οὓς λοιπὸν ἀδελφοὺς ἡ τῆς ἀγάπης κοινωνία εἰκότως ὑπ' ἐμοῦ 6
προσαγορεύεσθαι ποιεῖ, οὐκ ἀγνοεῖτέ με τὸν ὑμέτερον συνθεράποντα, οὐκ ἀγνοεῖτε
τὸ τῆς ὑμετέρας σωτηρίας ὀχύρωμα, οὗ τὴν φροντίδα γνησίως ἐπανῄρημαι, καὶ δι'
οὗ τῶν ἡμετέρων ἐχθρῶν οὐ μόνον τὰ ὅπλα κατεμαχεσάμεθα, ἀλλὰ καὶ ζῶντας
ἔτι τὴν ψυχὴν συνκαθείρξαμεν πρὸς τὸ τὴν τῆς φιλανθρωπίας ἀληθῆ πίστιν ἐκφάναι.
ἀλλ' ἐγὼ ἐπὶ τοῖς ἀγαθοῖς τούτοις διὰ τὴν τῆς οἰκουμένης μάλιστα ἀνανέωσιν ἔχαιρον. 7
καὶ γὰρ θαύματος ἦν ἄξιον ἀληθῶς ἔθνη τοσαῦτα εἰς ὁμόνοιαν ἐπαγαγεῖν, ἃ πρὸ
βραχέος ἐλέγετο τὸν θεὸν ἀγνοεῖν. πλὴν τί ἔμελλε γινώσκειν τὰ ἔθνη ταῦτα, ἃ οὐδε-
μίαν φιλονεικίας ἐπανῄρηντο φροντίδα; τί οὖν νοεῖτε, ἀδελφοὶ ἀγαπητοί, ὡς ὑμᾶς αὐτοὺς
αἰτιῶμαι; Χριστιανοί ἐσμεν καὶ οἰκτρᾷ διαθέσει διχονοοῦμεν. αὕτη ἄρα ἐστὶν ἡ ἡμετέρα 8
πίστις, αὕτη ἡ τοῦ ἁγιωτάτου νόμου διδασκαλία; ἀλλὰ τίς ἐστιν αἰτία δι' ἣν ὁ τοῦ
παρόντος κακοῦ ὄλεθρος ἐξεγήγερται; ὢ τῆς ἀτοπίας, ὢ μίσους ὑπερβολὴ πάσης ἀγανακ-
τήσεως μέγεθος ὑπερβαίνουσα. τίς ἡ τοῦ λῃστηρίου τούτου ἀναπέφανται δεινότης, ἢ
τὸν τοῦ θεοῦ υἱὸν ἀρνεῖται ἐξ ἀμερίστου τοῦ πατρὸς οὐσίας προεληλυθέναι; ἆρ' οὐχὶ παν-
ταχοῦ ἐστιν ὁ θεός, καίτοι γε τοῦτον πάντοτε παρεῖναι ἡμῖν αἰσθανόμεθα; ἆρ' οὐχὶ διὰ
τῆς τούτου δυνάμεως ἡ τῶν ὅλων συνέστηκεν εὐκοσμία, καίτοι γε τῆς τοῦ χωρισμοῦ
διαστάσεως ἐστέρηται;

1 ff. Vgl. Euseb Dem. ev. IV 12,6. 7 (170,4 ff.) 21 ff. Vgl. Urk. 34 S. 73,1 ff.

Ath. (BK RE) Gel. (a b c) Par.

4 συγκεχωσμένην Ath. (BK) | ἀποσείεσθαι Gel. 6 δὲ¹] μὲν Gel. (ab) > Gel. (c) 10 ἡμετέρας Gel. Hss. 12 ψυχὴν] εἱρκτὴν Gel. (c) | συνκατείρξαμεν Gel. (ab Loe.) καθείρξαμεν Ath. (BK) Gel. (P²) 15 βραχέως Ath. (R) | γινώσκειν ν nachgetragen von sp. Hd. Ath. (E) 16 ἐπανῄρηνται Ath. 17 οἰκτρᾷ] mediocri = μετρίᾳ Par. 20 ὑπερπαίουσα Gel. 22 ὁ > Ath. (R) | αἰσθόμεθα Ath.

quid igitur hic inlaesa et sincera fides dignum dubitatione occupavit? an non vides, 5 Par.
quod venerabilissimum corpus deus elegit, per quod fidei argumenta et propriae virtutis
exempla manifestare futurus esset et iam confusam exitiali errore humani generis perdi-
tionem expellere et novam religionis dare doctrinam et castitatis exemplo indignos mentis
actus expurgare, deinde autem mortis quidem tormentum dissolvere, inmortalitatis autem
praemia pronuntiare? sed vos, quos iam fratres communio caritatis merito ex me appellari 6
facit, non ignoratis me vestrum conservum, non ignoratis vestrae munimen salutis, cuius
curam diligenter suscepi et per quod inimicorum nostrorum non solum arma expugnavimus,
sed etiam vivos adhuc animam inclusimus ad manifestandam veram fidem clementiae.
sed ego super istis donis propter renovationem maxime orbis terrarum gaudebam. etenim 7
dignum erat vere miraculo in concordiam tot gentes adducere, quae paulo ante ignorare
deum dicebantur. tamen quid haberent istae gentes cognoscere, quae nullam certaminis
curam susceperunt? quid igitur intellegitis, dilecti fratres? nam vos ipsos accuso: Christiani
sumus et mediocri affectu dissentimus? haecine est nostra fides, haec sanctissimae legis 8
doctrina? sed quae causa est, propter quam praesentis mali exitium suscitatum est? o
flagitium, o odium supra modum omnis indignationis magnitudinem superans! quae istius
latrocinii atrocitas extitit, quae filium dei abnegat ex individua patris substantia processisse?
nonne ubique est deus, cum certe istum semper nobis adesse sentimus? nonne per eius
virtutem omnium decoratio constat, cum certe separatione dissipationis careant?

10 für donis lies: bonis = ἀγαθοῖς Klostermann

9 Μὴ οὖν ὑμῖν τι πέπρακται; ἀγαπητοὶ ἀδελφοί, καταμάθετε νῦν, ἀξιῶ, τὰς
βασάνους τῆς παρούσης ἀλγηδόνος· ὁμολογητὰς ὑμᾶς εἶναι τούτου ἐπηγγέλλεσθε ὃν
⟨θεὸν⟩ εἶναι ἀρνεῖσθε, τοῦθ' ὑμᾶς τοῦ πανώλου διδασκάλου πείθοντος. ἱκετεύω,
τίς ἐστιν ὁ ταῦτα διδάξας οὕτως ἄκακον πλῆθος; Εὐσέβιος δηλαδὴ ὁ τῆς τυραννικῆς
ὠμότητος συμμύστης. ὅτι γὰρ πανταχοῦ τοῦ τυράννου γεγένηται πρόσφυξ, πολλαχόθεν
ἔστι συνορᾶν. τοῦτο μὲν γὰρ αἱ τῶν ἐπισκόπων σφαγαὶ διαμαρτύρονται, ἀλλὰ τῶν
ἀληθῶς ἐπισκόπων, τοῦτο δὲ ἡ χαλεπωτάτη τῶν Χριστιανῶν ἐκδίωξις διαρρήδην βοᾷ.
10 οὐδὲν γὰρ περὶ τῶν εἰς ἐμὲ γεγενημένων ὕβρεων νῦν ἐρῶ, δι' ὧν, ὅτε μάλιστα αἱ τῶν
ἐναντίων μερῶν ἐπραγματεύσαντο συνδρομαί, οὗτος καὶ ὀφθαλμοὺς κατασκόπους ὑπέ-
11 πεμπε κατ' ἐμοῦ καὶ μόνον οὐκ ἐνόπλους τῷ τυράννῳ συνεισέφερεν ὑπουργίας. μηδ'
ἐμέ τις οἰέσθω εἶναι πρὸς τὴν τούτων ἀπόδειξιν ἀπαράσκευον. ἔλεγχος γάρ ἐστιν ἀκριβής,
ὅτι τοὺς πρεσβυτέρους καὶ τοὺς διακόνους τοὺς Εὐσεβίῳ παρεπομένους φανερῶς ὑπ'
ἐμοῦ συνειλῆφθαι συνέστηκεν. ἀλλὰ ταῦτα μὲν παρίημι, ἃ νῦν οὐκ ἀγανακτήσεως ἕνεκεν,
ἀλλ' εἰς ἐκείνων αἰσχύνην ὑπ' ἐμοῦ προενήνεκται. ἐκεῖνο μόνον δέδια, ἐκεῖνο διαλογίζομαι,
ὅτι ὑμᾶς ὁρῶ πρὸς τὴν τοῦ ἐγκλήματος καλεῖσθαι κοινωνίαν. διὰ γὰρ τῆς Εὐσεβίου
12 ἀγωγῆς τε καὶ διαστροφῆς συνείδησιν τῆς ἀληθείας κεχωρισμένην ἀνειλήφατε. ἀλλ'
ἔστιν οὐ βραδεῖα θεραπεία, εἴ γε ἐπίσκοπον πιστόν τε καὶ ἀκέραιον νῦν γοῦν λαβόντες
πρὸς τὸν θεὸν ἀπίδητε, ὅπερ ἐπὶ τοῦ παρόντος ἐν ὑμῖν ἐστι καὶ πάλαι ἐχρῆν τῆς ὑμετέρας

4 ff. Nach seiner Niederlage am Bosporus schickte Licinius Euseb von Nikomedien als Gesandten zu Constantin: Vita Constantini Cod. Angelic. A bei Philostorgius (ed. Bidez) S. 180, 16 17 Eusebs Nachfolger ist Amphion: Athan. Apol. c. Arian. 7 (I 129 F), Sokr. I 14,1 (97,10), Soz. I 21,5 (95,3). II 16,2 (155,5). Euseb ist also schon abgesetzt, nach Philost. I 10 (11,7) drei Monate nach Nicaea

Ath. (BKRE) Gel.[2] III Anhang I. (abc) Par. ab 4 τίς ἐστιν: Theod. h. e. I 20,1 (Ansz) Gel.[1] I 11,22 (abc) Th.

1 ἡμῖν Gel. (ac) | ὦ ἀγαπητοὶ Ath. (RE) Gel. (Hb) 3 ⟨θεὸν⟩ Hkl. 4 διδάξας ταῦτα ~ Ath. (BK) | ὁ[2] > Gel.[1] 5 ἐγένετο Th. | πρόσφυξ] προσφυλάξ Gel.[1] Gel.[2] | πανταχόθεν Gel.[2] (A[1]b Loe.) πάντοθεν Gel.[2] (Hc) 6 γὰρ > Gel.[1] | αἱ + πανταχοῦ Th. 8 περὶ > Gel.[1] (A[1]bc) Gel.[2] | τῶν + περὶ τῶν Gel.[2] (Hb) | διαγεγενημένων Th. | ὕβρεων] παρ' αὐτοῦ Gel.[1] | ὅτε] ὅτι Theod. Gel.[2] Hss. Th. 9 μερῶν + καθ' ἡμῶν Gel.[1] | ἐπραγματεύοντο Gel.[1] 9/10 ἔπεμπε Theod. (Asz) Gel.[1] ἔπεμψε Theod. (n) Th. 10 ὑπουργίας] λειτουργίας Ath. (BK) | ὑπουργίας + αὐτῷ χάριν Gel.[1] 12 τοὺς[2] > Gel.[2] | παραπεμπομένους Gel.[1] 13 παρίημι ἃ] παρ' ἡμῶν Gel.[1] 14 αἰσχύνην ἐκείνων ~ Gel.[1] | ὑπ' ἐμοῦ > Gel.[1] | προσενήνεκται Th. | ἐκεῖνο[1] + δὲ Gel.[1] (A[1]) Th. | δέδια ἐκεῖνο > Th. 15 ὁρῶ + καὶ Th. | τοῦ > Th. 16 διαγωγῆς Gel.[1] | κεχωρισμένην τῆς ἀληθείας ~ Gel.[1] | εἰλήφατε Theod. Gel.[1] Th. 18 τὸν > Gel.[1] | καὶ] ὅπερ καὶ Theod. (z) ὃ καὶ Theod. (ns) Gel.[1] | ἡμετέρας Gel.[1] (P3c) Gel.[2] (P3) Th.

Par. 9 Num igitur vobis aliquid actum est? o dilecti fratres, considerate modo, deprecor,
tormenta praesentis doloris: confessores vos esse istius promittebatis, quem esse denegatis,
in hoc vobis doctore persuadente in omnibus perdito. supplico, quis est qui ista docuit ita
simplicem multitudinem? Eusebius scilicet, qui tyrannicae crudelitatis conscius est. quod
enim ubique tyranni factus est cliens, ex multis est pervidere. tam enim caedes episcoporum
testantur, sed vere episcoporum, quam saevissima Christianorum persecutio manifeste
10 clamat. nihil enim de factis in me iniuriis modo dicam, per quas, cum maxime adversarum
partium festinaverunt concursiones, iste et oculos speculatores contra me submittebat et
11 paene etiam armata tyranno ministeria conferebat. nec me quidam esse arbitretur ad
istorum probationem inparatum; argumentum enim subtile est, quod presbyteros et diaconos
qui Eusebium adsequebantur, manifeste a me comprensos esse constat. sed ista quidem prae-
termitto, quae nunc non indignationis causa, sed ad illorum confusionem a me prolata sunt;
illud autem solum timeo, illud cogito, quod vos video ad criminis vocari communionem:
nam per Eusebii conversationem et perversionem conscientiam suscepistis a veritate sepa-
12 ratam. sed est non tardum remedium, si episcopum fidelem et integrum vel nunc acci-

11 compressos Ms. corr. Schw. vgl. Gr. 12 prolata Schw. probata Ms. 14 veritate Schw. varietate Ms.

κρίσεως ἠρτῆσθαι, εἰ μὴ ὁ προειρημένος Εὐσέβιος ⟨σὺν⟩ δίνῃ τῶν συναγομένων αὐτῷ ἐνταῦθα ἐληλύθει καὶ τὴν τῆς τάξεως ὀρθότητα ἀναισχύντως συνετεταράχει.

Ἀλλ' ἐπειδὴ περὶ αὐτοῦ τοῦ Εὐσεβίου πρὸς τὴν ὑμετέραν ἀγάπην ὀλίγα προσῆκε 13
φράσαι, μέμνηται ἡ ὑμετέρα ἀνεξικακία ἐπὶ τῆς Νικαέων πόλεως γεγενῆσθαι σύνοδον, ᾗ καὶ αὐτὸς ἐγὼ πρεπόντως τῇ τῆς ἐμῆς συνειδήσεως λατρείᾳ παρήμην, οὐδὲν ἕτερον βουλόμενος ἢ ὁμόνοιαν ἅπασιν ἐργάσασθαι καὶ πρὸ πάντων ἐλέγξαι τε καὶ ἀποσείσασθαι τὸ πρᾶγμα τοῦτο, ὃ τὴν μὲν ἀρχὴν εἰλήφει διὰ τῆς Ἀρείου τοῦ Ἀλεξανδρέως ἀπονοίας, ἰσχυροποιεῖτο δὲ παραχρῆμα διὰ τῆς Εὐσεβίου ἀτόπου τε καὶ ὀλεθρίας σπουδῆς. ἀλλ' 14
αὐτὸς οὗτος Εὐσέβιος, προσφιλέστατοι καὶ τιμιώτατοι, μεθ' ὅσης νομίζετε συνδρομῆς ἅτε δὴ ὑπὸ τῆς συνειδήσεως αὐτῆς ἡττώμενος, μεθ' ὅσης δὲ αἰσχύνης τῇ πανταχόθεν ἐληλεγμένῃ ψευδολογίᾳ συνίστατο, ὑποπέμπων μέν μοι διαφόρους τοὺς ἀξιοῦντας ὑπὲρ αὐτοῦ, ἐξαιτούμενος δὲ παρ' ἐμοῦ συμμαχίαν τινά, ὅπως μὴ ἐπὶ τοσούτῳ ἐλεγχθεὶς πλημμελήματι τῆς ὑπαρχούσης αὐτῷ τιμῆς ἐκβάλλοιτο; μάρτυς ἐστί μοι τούτου ὁ θεὸς αὐτός, ὃς ἐμοί τε καὶ ὑμῖν φιλαγάθως ἐπιμένοι, ἐπεὶ καὶ ἐμὲ ἐκεῖνος περιέτρεψε καὶ ἀπρεπῶς ὑφήρπασεν, ὃ καὶ ὑμεῖς ἐπιγνώσεσθε. πάντα μὲν γὰρ ἐπράχθη τότε, καθὼς αὐτὸς ἐπόθει πᾶν ὁτιοῦν κακὸν ἐπὶ τῆς ἑαυτοῦ διανοίας ἀποκρυπτόμενος.

11 ὑπὲρ αὐτοῦ: für Euseb   12 πλημμελήματι d. i. Unterstützung des Arius

Ath. (BK RE) Theod. (A n s z) Gel.[1] (a b c) Gel.[2] (a b c) Th. Par.

1 ⟨σὺν⟩ δίνῃ Par. Ltz. δεινῇ Ath. (B) Gel.[1] Gel.[2] (HV[1]M[2]P[1] Loe.) Th. δεινή Gel.[2] (P3) δεῖν' ἢ Ath. (KE) δεῖν η Ath. (BR) κοινῇ Gel.[2] (P[2]) δεινῶς Theod. (n s z) δηνῶς Theod. (A) δεινῶν Gel.[2] (A[1]) ἢ δεῖνα a. Rd. von Hd. des 16. Jhdts. Ath. (B) | τῶν + τότε Theod. (A[c]z) Gel.[1] (bc Loe.) Th. + τε Theod. (ns) Gel.[1] (a) | τῶν] τότε Gel.[2] Loe. | συναγομένων] συλλαβομένων Theod. Gel.[2] Gel.[1] Th. Loe. | αὐτῷ] αὐτῶν Gel.[2] (ac) | αὐτῷ + προαιρέσει Gel.[1]   2 ἀνεπαισχύντως Ath. (E) | συνετεταράχει Balforeus συνεπεπράχει alle Hss. (Augment! vgl. S. 62, 3. 5)   3 ἐπειδήπερ Th. | τοῦ αὐτοῦ ~ Gel.[1] | τοῦ] τούτου Theod. (A) Th.   4 φράσαι + μακροθύμως ἀκούσατε Gel.[1] | σύνοδον + ἐπισκόπων Gel.[1]   6 πρό + γε Theod. (An) Th. | τε > Gel.[1]   7 Ἀρείου + τῆς Th.   8 ἰσχυροποίητο Theod. (nG Parm.) Th. | ὀλεθρίου Th.   9 νομίζεται Theod. (AG) Gel.[1] (P3) Gel.[2] (P3) Th.   10/11 ἐληλεγμένη] ἐλεγχομένη Th.   11 ψευδολογία + αὐτοῦ Gel.[1] | συνίσταται Gel.[1] | μέν μοι] μέντοι Gel.[1] (H) Th. | ὑπὲρ αὐτοῦ ἀξιοῦντας ~ Gel.[1]   13 ἐκβάλλοιτο] ἐκπέσοι aber vor τιμῆς Gel.[1] | τούτου] τούτων Gel.[1] | αὐτὸς ὁ θεός ~ Gel.[1]   14 ἐπεί] ὅτι Gel.[1] | ἐμὲ αὐτὸς ἐκεῖνος Εὐσέβιος Gel.[1] | ὑφήρπασεν + ἀλλ' ἡ θεία με πρόνοια ἐπὶ τὴν ἀληθεστάτην αὐτῆς ὁδὸν ἐπανήγαγεν Gel.[1]   15 ὑμεῖς + ἐπέγνωτε καὶ Gel.[1] | μὲν > Ath (E) | ἐπράχθη τότε] ἐπράχθη παρ' αὐτοῦ τότε Εὐσεβίου τοῦ ἀνοσίου λέγω Gel.[1] (A[1]bc) | ἐπεπόθει Theod. (s) Gel.[1] (H) | ἐπόθει] ἐφάνη ποθῶν Th. | αὐτοῦ Gel.[1]   16 ἐπὶ τῆς ἑαυτοῦ διανοίας] ἐν ἑαυτῷ Th.

pientes ad deum respiciatis, quod in praesenti in vobis est et iam pridem oportebat a vestro Par.
pendere iudicio, nisi praedictus Eusebius cum turbulenta multitudine eorum qui eum sequebantur, huc pervenisset et ordinis rectitudinem impudenter conturbasset.

Sed quoniam de ipso Eusebio ad vestram caritatem pauca oportet dicere, meminit 13
vestra patientia in Nicaena civitate factum esse concilium, cui et ipse ego decenter aderam servitute conscientiae meae nihil alterum volens quam concordiam omnibus operari et ante omnia convincere et hanc causam depellere, quae initium quidem ceperat per Arrii Alexandrini insolentiam, conroborata est autem statim per Eusebii flagitiosam et perniciosam festinationem. sed iste ipse Eusebius, amicissimi et carissimi, cum quanta putatis concursione, 14
quando ab ipsa conscientia vincebatur, cum quanta autem confusione undique convictum falsiloquium defendebat, submittens quidem mihi diversos pro ipso supplicantes, postulans autem ex me aliquid auxilii, quatenus vel in tanto convictus delicto ⟨non⟩ eiciatur honore quem habebat? testis mihi est in hoc deus ipse, qui mihi et vobis benignus permaneat, quoniam et me ille pervertit et indecenter subripuit, quod et vos cognoscetis. omnia enim tunc acta sunt, sicut ipse desiderabat, omne quodlibet malum in sua mente abscondens.

7 coeperat Ms.   12 für quatenus liest Klostermann quominus | ⟨non⟩ Schw.

15 Ἀλλὰ πρώην, ἵνα τὰ λοιπὰ τῆς τούτου σκαιότητος παρῶ, τί μάλιστα μετὰ Θεογνίου,
ὃν τῆς ἀνοίας ἔχει κοινωνόν, διεπράξατο, ἀκούσατε, παρακαλῶ. Ἀλεξανδρέας τινὰς
τῆς ἡμετέρας πίστεως ἀναχωρήσαντας ἐνταῦθα κεκελεύκειν ἀποσταλῆναι, ἐπειδὴ διὰ
16 τῆς τούτων ὑπηρεσίας ὁ τῆς διχονοίας ἠγείρετο πυρσός. ἀλλ' οὗτοι οἱ καλοί τε καὶ
ἀγαθοὶ ἐπίσκοποι, οὓς ἅπαξ ἡ τῆς συνόδου ἀλήθεια πρὸς μετάνοιαν τετηρήκει, οὐ μόνον
ἐκείνους ὑπεδέξαντο καὶ παρ' ἑαυτοῖς ἠσφαλίσαντο, ἀλλὰ καὶ ἐκοινώνησαν αὐτοῖς τῆς
τῶν τρόπων κακοηθείας. διὸ τοῦτο περὶ τοὺς ἀχαρίστους τούτους ἔκρινα πρᾶξαι·
17 ἁρπαγέντας γὰρ αὐτοὺς ἐκέλευσα ὡς πορρωτάτω ἐξορισθῆναι. νῦν ὑμέτερόν ἐστι πρὸς
τὸν θεὸν ἐκείνῃ τῇ πίστει βλέπειν, ᾗ πάντοτε καὶ γεγενῆσθαι συνέστηκε καὶ εἶναι πρέπει,
καὶ διαπράξασθαι οὕτως, ἵνα ἐπισκόπους ἁγνούς τε καὶ ὀρθοδόξους καὶ φιλανθρώπους
ἔχοντες χαίρωμεν· εἴ τις δὲ ἢ πρὸς μνήμην τῶν λυμεώνων ἐκείνων ἢ πρὸς ἔπαινον ἀπρο-
νοήτως ἐξαφθῆναι τολμήσει παραχρῆμα τῆς ἰδίας τόλμης διὰ τῆς τοῦ θεράποντος τοῦ
θεοῦ τοῦτ' ἔστιν ἐμοῦ ἐνεργείας ἀνασταλήσεται. ὁ θεὸς ὑμᾶς διαφυλάξει, ἀδελφοὶ ἀγα-
πητοί.

2 Nur Arius, Secundus und Theonas können gemeint sein. Also ist Arius nicht sofort nach Illyrien verbannt worden (so Philost. I 9c; 11,15) 5 Die Bischöfe sind Euseb und Theognios | Die ihnen bis zur Unterschrift des Anathems gegebene Frist haben die beiden nicht innegehalten, vielmehr mit den Exkommunizierten verkehrt 8 Vgl. hierzu Philost. II 1. 1a. 1b. (12f.). Philost. II 1b (12,26) berichtet von einer Verbannung nach Gallien

Ath. (BK RE) Theod. (A n s z) Gel.[1] (a b c) Gel.[2] (a b c) Th. Par.

1 τούτου] αὐτοῦ Theod. (n) Gel.[1] (A[1]) | σκαιότητος τούτου ~ Th. | Θεογονίου Theod. (AnsDF) Θεογνίδος Theod. (V) | ἀνοίας] ἀνοσίας αὐτοῦ προαιρέσεως Gel.[1] 4 ὁ τῆς > Gel.[1] 5 τῆς συνόδου ἡ ἀλήθεια ~ Theod. (A?) Th. 6 ὑπεδέξαντο] ἐδέξαντο Theod. Gel.[1] οὐκ ἐδέξαντο Th. | ἐδέξαντο ἐκείνους ~ Gel.[1] 7 διὸ] διὰ Theod. (ANGz) Th. 8 γὰρ > Th. | ἡμέτερον Gel.[1] (bc) Gel.[2] (bP[2]) 9 ᾗ] ἣ Gel.[1] Gel.[2] | γεγενῆσθαι + καὶ Ath. Gel.[2] (b) | συνέστηκε] συνεστηκέναι Gel.[2] (b) ὑμᾶς Gel.[1] | συνέστηκε καὶ εἶναι] συνεστηκέναι Ath. (K) 10 ἵνα] ⟨ὡς⟩ Theod. (Val. Parm.) > Ath. Theod. (AnsLv) Gel.[2] Hss. Th. 11 χαίρομεν Ath. (E) Theod. Th. | ἢ > Theod. Gel.[1] Th. | μνήμην] λύμην Ath. (BK) | λυμεώνων] λυμαινομένων Ath. (E) 11|12 ἀπρονοήτους Ath. (BK) Theod. 12 παραχρῆμα — τόλμης > Th. 13 ὁ θεὸς ff. > Ath. | διαφυλάξαι Gel.[1] (c) Th. 13/14 ἀγαπητοὶ ἀδελφοί ~ Gel.[2] (A[1]bc)

Par. 15 Sed pridem, ut cetera eius pravitatis praetermittam, quid maxime cum Theognio,
quem dementiae consortem habet, peregerit, audite, supplico. Alexandrinos quosdam qui a
nostra fide recesserunt, huc iussi transmitti, quia per istorum ministerium ignis discordiae
16 surgebat. sed isti boni et benigni episcopi, quos semel concilii veritas ad paenitentiam
servavit, non solum illos susceperunt et apud se servaverunt, sed etiam consortes morum
fuerunt eorum pravitatis. propter quod circa istos ingratos hoc agere censui: raptos enim
17 eos iussi quam longissime exterminari. nunc vestrum est ad deum fide illa respicere,
quam semper et fuisse constat et esse decet, et sic peragere, ut episcopos castos et ortho-
doxos et clementes habentes gaudeamus. si quis autem vel ad pestiferorum memoriam
illorum vel ad laudem inconsulte exardere audeat, confestim a sua audacia per operationem
servi dei, hoc est mei, compescetur. deus vos conservet, fratres dilectissimi.

Haec exemplaria duarum epistularum domnus imperator Iustinianus beatissimo papae Vigilio translatas de Graeco in Latino direxit die quinto kalendarum Iuniarum sexies post consulatum Basili viri clarissimi.

5 servabit Ms. 8 quam Schw. qua Ms. 12 Die beiden Briefe sind Urkunde 25 u. 27

Urkunde 28.

Brief Kaiser Konstantins an Theodot von Laodicea.

(Nov.-Dez. 325)

Νικητὴς Κωνσταντῖνος Σεβαστὸς Θεοδότῳ.

῞Οση τῆς θείας ὀργῆς ἡ ἰσχὺς πέφυκε, καὶ ἐξ ὧν Εὐσέβιός τε καὶ Θεόγνιος πεπόνθασιν 1
εὐχερὲς καὶ σὲ μαθεῖν, οἳ εἰς τὴν ἁγιωτάτην παροινοῦντες θρησκείαν τὸ τοῦ σωτῆρος
θεοῦ ὄνομα τῷ συστήματι τοῦ οἰκείου ληστηρίου καὶ μετὰ τὸ τυχεῖν συγγνώμης ἐμίαναν.
ὅτε γὰρ μάλιστα μετὰ τὴν τῆς συνόδου ὁμογνώμονα συμφωνίαν ἐχρῆν τὴν προτέραν
ἐπανορθώσασθαι πλάνην, τότε τοῖς αὐτοῖς ἀτοπήμασιν ἐμμένοντες ἑάλωσαν. διὰ 2
τοῦτο γοῦν ἡ θεία πρόνοια αὐτοὺς τοῦ ἑαυτῆς ἀπώσατο λαοῦ. ἐπειδὴ μηδὲ ἔφερε τὰς
ἀκάκους ψυχὰς ὀλίγων ἀπονοίᾳ φθειρομένας καθορᾶν, καὶ νῦν μὲν ἀξίαν παρ' αὐτῶν
ἤτησε δίκην, μείζονα δὲ καὶ εἰς τὸ ἑξῆς διὰ τοῦ παντὸς αἰῶνος λήψεται.

῞Οπερ τῇ σῇ ἀγχινοίᾳ δηλωθῆναι δεῖν ἡγησάμην, ἵν' εἴ τις κακὴ παραίνεσις τῶν 3
τοιούτων, ὡς ἔγωγε οὐκ οἶμαι, τῇ σῇ ἐνεκαθέσθη προαιρέσει, ταύτην τῆς ψυχῆς ἀφελό-
μενος καθαρὰν ὡς προσῆκε τὴν διάνοιαν εἰλικρινῆ τε καθοσίωσιν καὶ ἄχραντον πίστιν
τῷ σωτῆρι θεῷ παρασχέσθαι προθυμηθῇς. καὶ γὰρ τοῦτο προσῆκόν ἐστιν ὑπὸ τούτου
πράττεσθαι, ὃς δ'ἂν ἀκεραίων τῶν τῆς αἰωνίου ζωῆς ἐπάθλων ἀξιοῦσθαι βουλεύηται.

καὶ ἄλλῃ χειρί·

ὁ θεός σε διαφυλάξει, ἀδελφὲ ἀγαπητέ.

Ath. de decr. nic. (BK RE) Gel. III Anhang II. (a b c)

2 ἡ ἰσχὺς > Ath. (RE) Gel. (a); von späterer Hand hinzugefügt Ath. (B) 3 σωτῆρος] πατρὸς Gel. (c) 9 ἤτησε] ἔτισε Ath. (K, B corr.) 10 ἵν' εἴ τις] ἣν ἥτις Ath. (RE?) ἵν εἴτις Ath. (E[c]) 12 καθαρὰν Ath. (E corr.) Gel. καθορᾶν Ath. 14 in βουλεύηται ist -λεύηται ausradiert, aber von sp. Hand übergeschrieben Ath. (B) 15 καὶ ἄλλῃ χειρί > Gel. 16 διαφυλάξαι(!) σε ~ Ath. (BK) διαφυλάξοι Gel. (b)

Urkunde 29.

Brief Kaiser Konstantins an Arius.

(27. Nov. 327)

Νικητὴς Κωνσταντῖνος Μέγιστος Σεβαστὸς 'Αρείῳ.

Πάλαι μὲν ἐδηλώθη τῇ στερρότητί σου, ὅπως ἂν εἰς τὸ ἡμέτερον στρατόπεδον ἀφίκοιο, ἵνα τῆς ἡμετέρας θέας ἀπολαῦσαι δυνηθείης. θαυμάζομεν δὲ σφόδρα μὴ παραχρῆμά σε τοῦτο πεποιηκέναι. διόπερ νῦν ἐπιβὰς ὀχήματος δημοσίου εἰς τὸ ἡμέτερον στρατόπεδον ἀφικέσθαι ἐπείχθητι, ὅπως ἂν τῆς παρ' ἡμῶν εὐμενείας τε καὶ ὁμιλίας τυχὼν εἰς τὴν πατρίδα ἐπανελθεῖν δυνηθείης. ὁ θεός σε διαφυλάξει, ἀγαπητέ.

ἐδόθη τῇ πρὸ πέντε καλανδῶν δεκεμβρίων.

Sokr. I 25, 7 (MA FHC G) Th. Vita Metrophanis et Alexandri ed. Gedeon S. 322a 5—13 nach Cod. Vatic. gr. 1667 f. 62 (= Metr.). P. Heseler, der seine Kollation zur Verfügung stellte, glaubt, daß die Vita Urk. 29. 30 der KG des Gelasius v. Cäsarea entnommen hat

1 'Αρείῳ > Sokr. 2 ἡμέτερον] ἐμὸν Sokr. (MF HCG) 3 ἀπολαῦσαι θέας ~ Th. | δυνηθῇς Th. Metr. 4 σε > Sokr. | πεποιηκότα Sokr. | νῦν + γοῦν Th. Metr. 5 ὁμιλίας τε καὶ εὐμενείας ~ Th. | ὁμιλίας] ἐπιμελείας Sokr. 6 εἰς] ἐπὶ Sokr. | ἐπανελθεῖν] ἀφικέσθαι Sokr. | δυνηθῇς Sokr. (MAFG) δυνηθεὶς Th. | διαφυλάξοι Sokr. (A) διαφυλάττοι Sokr. (MFHCG) Th. Metr. 7 ἐδόθη — δεκεμβρίων > Sokr. (HC)

Urkunde 30.

Brief der Presbyter Arius und Euzoius an Kaiser Konstantin.

(Ende 327)

Τῷ εὐλαβεστάτῳ καὶ θεοφιλεστάτῳ δεσπότῃ ἡμῶν βασιλεῖ Κωνσταντίνῳ Ἄρειος καὶ Εὐζώιος.

1 Καθὼς προσέταξεν ἡ θεοφιλής σου εὐσέβεια, δέσποτα βασιλεῦ, ἐκτιθέμεθα τὴν
ἑαυτῶν πίστιν καὶ ἐγγράφως ὁμολογοῦμεν ἐπὶ θεοῦ οὕτως πιστεύειν ἡμεῖς καὶ πάντες οἱ
2 σὺν ἡμῖν ὡς ὑποτέτακται. πιστεύομεν εἰς ἕνα θεὸν πατέρα, παντοκράτορα· καὶ εἰς κύ-
ριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, τὸν ἐξ αὐτοῦ πρὸ πάντων τῶν
αἰώνων γεγεννημένον, θεὸν λόγον, δι' οὗ τὰ πάντα ἐγένετο τά τε ἐν τοῖς οὐρανοῖς καὶ τὰ
ἐπὶ τῆς γῆς, τὸν κατελθόντα καὶ σάρκα ἀναλαβόντα καὶ παθόντα καὶ ἀναστάντα καὶ
3 ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ πάλιν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς. καὶ εἰς
τὸ ἅγιον πνεῦμα καὶ εἰς σαρκὸς ἀνάστασιν καὶ εἰς ζωὴν τοῦ μέλλοντος αἰῶνος καὶ εἰς βασι-
λείαν οὐρανῶν καὶ εἰς μίαν καθολικὴν ἐκκλησίαν τοῦ θεοῦ τὴν ἀπὸ περάτων ἕως περάτων.
4 ταύτην δὲ τὴν πίστιν παρειλήφαμεν ἐκ τῶν ἁγίων εὐαγγελίων, λέγοντος τοῦ κυρίου τοῖς
ἑαυτοῦ μαθηταῖς· »πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη βαπτίζοντες αὐτοὺς εἰς τὸ
ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος«. εἰ δὲ μὴ ταῦτα οὕτως πιστεύομεν
καὶ ἀποδεχόμεθα ἀληθῶς πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον ὡς πᾶσα ἡ καθολικὴ ἐκκλη-
σία καὶ αἱ γραφαὶ διδάσκουσιν, αἷς κατὰ πάντα πιστεύομεν, κριτὴς ἡμῶν ἐστιν ὁ θεὸς καὶ
5 νῦν καὶ ἐν τῇ μελλούσῃ ἡμέρᾳ. διὸ παρακαλοῦμέν σου τὴν εὐσέβειαν, θεοφιλέστατε
βασιλεῦ, ἐκκλησιαστικοὺς ἡμᾶς ὄντας καὶ τὴν πίστιν καὶ τὸ φρόνημα τῆς ἐκκλησίας καὶ
τῶν ἁγίων γραφῶν ἔχοντας ἑνοῦσθαι ἡμᾶς διὰ τῆς εἰρηνοποιοῦ σου καὶ θεοσεβοῦς εὐσε-
βείας τῇ μητρὶ ἡμῶν, τῇ ἐκκλησίᾳ δηλαδή, περιῃρημένων τῶν ζητημάτων καὶ τῶν ἐκ
τῶν ζητημάτων περισσολογιῶν, ἵνα καὶ ἡμεῖς καὶ ἡ ἐκκλησία μετ' ἀλλήλων εἰρηνεύοντες
τὰς συνήθεις εὐχὰς ὑπὲρ τῆς εἰρηνικῆς σου καὶ εὐσεβοῦς βασιλείας καὶ παντὸς τοῦ γένους σου
κοινῇ πάντες ποιώμεθα.

13/14 Mt 28,19

Sokr. I 26, 2 (MA FHC G Arm. [5 πιστεύομεν — 14 πνεύματος > Arm.]) Soz. II 27, 6 (AB^1K) Th. Metr. (vgl. Urk. 29)

1—2 > Sokr. (Arm.) 1 εὐσεβεστάτῳ Soz. (B^1K) Th. Metr. | βασιλεῖ > Soz. (B^1) 2 Εὐζώιος + πρεσβύτεροι Soz. 4 καὶ^1 > Soz. Metr. | ἡμεῖς καὶ πάντες Sokr. (Arm.)] καὶ αὐτοὶ (+ καὶ A^c Metr.) πάντες Soz. Metr. (mit falschen Einschüben) καὶ αὐτοὶ καὶ Sokr. (MAFHCG) 4 ἡμεῖς — 5 ἡμῖν > Th. 5 καὶ εἰς — 14 πνεύματος > Metr. 6 τὸν μονογενῆ > Sokr. Soz. vgl. Urk. 6; S. 12,7 | τῶν > Th. 7 γεγενημένον Sokr. (MFC) Th. γεγεύ̆ημένον Sokr. (A$F^c$$H^c$) | ἐν οὐρανοῖς Th. ἐν οὐρανῷ Soz. 8 τῆς > Th. | κατελθόντα — καὶ^2 > Th. | ἐλθόντα Soz. | σάρκα ἀναλαβόντα] σάρκα danach große Rasur Sokr. (M) σαρκωθέντα Sokr. (MFHCG) 9 τοὺς > Th. 10 τὸ > Soz. | εἰς^1 > Soz. | τοῦ μέλλοντος αἰῶνος] αἰώνιον Th. 11 ἐκκλησίαν καθολικὴν ∼ Soz. 12 δὲ] γὰρ Soz. (B^1) 13 τὸ > Sokr. (MFG) 14 δὲ > Th. | εἰ δὲ — 15 ἅγιον > Sokr. 15 ἅγιον πνεῦμα ∼ Soz. Metr. | ἡ > Sokr. (AFHCG) 16 ἅγιαι γραφαὶ Soz. Th. Metr. | αἷς] ὡς Soz. aber: quas Cassiodor | ἡμῶν] ἡμῖν Soz (A) | ἐστιν] ἔσται Soz. Metr. 17 ἡμέρᾳ] κρίσει Sokr. 17 θεοφιλέστατε + ἡμῶν Soz. (B^1) ἡμῖν Soz. (AK) 18 τὴν > Sokr. | καὶ^3 + τὸ φρόνημα Sokr. (MFHCG) 20 περὶ εἰρημένων Sokr. (Arm.) 20/21 τῶν ἐκ τῶν ζητημάτων > Sokr. 21 εἰρηνεύσαντες μετ' ἀλλήλων ∼ Sokr. 22 καὶ εὐσεβοῦς > Sokr. (MFHCG) 23 ποιησώμεθα Sokr.

Urkunde 31.

Brief des Euseb von Nikomedien und Theognios von Nicäa an die zweite Synode von Nicäa (327).

(Ende 327)

Ἤδη μὲν καταψηφισθέντες πρὸ κρίσεως παρὰ τῆς εὐλαβείας ὑμῶν ἐν ἡσυχίᾳ φέρειν 1
τὰ κεκριμένα παρὰ τῆς ἁγίας ὑμῶν ἐπικρίσεως ὀφείλομεν. ἀλλ' ἐπειδὴ ἄτοπον καθ' ἑαυτῶν
δοῦναι τῶν συκοφαντῶν τὴν ἀπόδειξιν τῇ σιωπῇ, τούτου ἕνεκεν ἀναφέρομεν ὡς ἡμεῖς καὶ τῇ
πίστει συνεδράμομεν καὶ τὴν ἔννοιαν ἐξετάσαντες ἐπὶ τῷ ὁμοουσίῳ ὅλοι ἐγενόμεθα τῆς
εἰρήνης, μηδαμοῦ τῇ αἱρέσει ἐξακολουθήσαντες. ὑπομνήσαντες δὲ ἐπὶ ἀσφαλείᾳ τῶν 2
ἐκκλησιῶν ὅσα τὸν λογισμὸν ἡμῶν ὑπέτρεχε καὶ πληροφορήσαντες τοὺς δι' ἡμῶν πεισθῆ-
ναι ὀφείλοντας ὑπεσημηνάμεθα τῇ πίστει, τῷ δὲ ἀναθεματισμῷ οὐχ ὑπεγράψαμεν, οὐχ
ὡς τῆς πίστεως κατηγοροῦντες, ἀλλ' ὡς ἀπιστοῦντες τοιοῦτον εἶναι τὸν κατηγορη-
θέντα, ἐκ τῶν ἰδίᾳ πρὸς ἡμᾶς παρ' αὐτοῦ διά τε ἐπιστολῶν καὶ τῶν εἰς πρόσωπον δια-
λέξεων πεπληροφορημένοι μὴ τοιοῦτον εἶναι. εἰ δὲ ἐπείσθη ἡ ἁγία ὑμῶν σύνοδος, 3
οὐκ ἀντιτείνοντες, ἀλλὰ συντιθέμενοι τοῖς παρ' ὑμῶν κεκριμένοις καὶ διὰ τούτου τοῦ
γράμματος πληροφοροῦμεν τὴν συγκατάθεσιν, οὐ τὴν ἐξορίαν βαρέως φέροντες, ἀλλὰ
τὴν ὑπόνοιαν τῆς αἱρέσεως ἀποδυόμενοι. εἰ γὰρ καταξιώσητε νῦν γοῦν εἰς πρόσωπον 4
ἐπαναλαβεῖν ἡμᾶς, ἕξετε ἐν ἅπασι συμψύχους ἀκολουθοῦντας τοῖς παρ' ὑμῖν κεκριμένοις,
ὁπότε αὐτὸν τὸν ἐπὶ τούτοις ἐναγόμενον ἔδοξε τῇ ὑμῶν εὐλαβείᾳ φιλανθρωπεύσασθαι καὶ
ἀνακαλέσασθαι. ἄτοπον δέ, τοῦ δοκοῦντος εἶναι ὑπευθύνου ἀνακεκλημένου καὶ ἀπολο-
γησαμένου ἐφ' οἷς διεβάλλετο, ἡμᾶς ἐπισιωπᾶν καθ' ἑαυτῶν διδόντας τὸν ἔλεγχον.

